# ΠΟΙΗΣΙΣ ΦΙΛΟ-
# ΣΟΦΟΣ.
# POESIS PHILO-
# SOPHICA,

*Vel ſaltem,*

## Reliquiæ poeſis philoſophicæ,

EMPEDOCLIS, PARMENIDIS, XENOPHANIS, CLEANTHIS, TIMONIS, EPICHARMI.

*Adiuncta ſunt*

ORPHEI illius carmina qui à ſuis appellatus fuit ὁ θεολόγος.

*ITEM,*

*HERACLITI ET DEMOcriti loci quidam, & eorum epiſtolæ.*

ANNO M. D. LXXIII,
excudebat Henr. Stephanus.
CVM PRIVILEGIO CAES. MAIESTATIS.

author damnatus sed opus permissum

# ΠΟΙΗΣΙΣ ΦΙΛΟ-
# ΣΟΦΟΣ.
# POESIS PHILO-
# SOPHICA,

*Vel saltem,*

Reliquiæ poesis philosophicæ,

EMPEDOCLIS, PARMENIDIS, XENOPHANIS, CLEANTHIS, TIMONIS, EPICHARMI.

*Adiuncta sunt*

ORPHEI illius carmina qui à suis appellatus fuit ὁ θεολόγος.

*ITEM,*

*HERACLITI ET DEMOcriti loci quidam, & eorum epistolæ.*




ANNO M. D. LXXIII,
excudebat Henr. Stephanus. author damnatus

CVM PRIVILEGIO CAES. MAIESTATIS. sed opus permissum

# RICHARDO STREINNIO, BA-roni Schuuarze-nauio,

HENR. STEPH. S. D.

*AVT prodesse volunt aut delectare poetæ,*
*Aut simul & iucunda & idonea dicere vitæ.*

His versibus Horatianis õnes quidem assentiuntur: sed vereor ne *Grammatici certēt & adhuc sub iudice lis sit*, quódnam poematum genus vtilitatem afferat, quódnam delectet: quódnam sit tertium illud quod vtilitatem cum delectatione coniunctam habet. Quòd si mihi in ista quæstione (quæ difficilior est quàm prima fronte videatur) meã ex tempore proferre de vtilibus poematis sententiam licet: quemadmodum inter carnes, eas esse suauissimas dicit apud Plutarchum Philoxenus, quæ minimè sunt carnes, ita profectò ex poematis ea plerunq; esse dixerim vtilissima quæ poemata non sunt. Quænam verò sunt vel potius dicuntur poemata, quum tamen verè poemata non sint? Quæ illa re carent quam

nonnulli poeseωs animam appellarunt: id est fabulis. Si enim poesi fabulæ sunt instar animæ, versus quorum corpori infusæ illæ nō sunt, aut poeseωs nomine ne dignemur, aut poesin mortuam (vt mortuum est corpus à quo abest anima) appellemus: sic tamē vt illo vocabulo nos abuti sciamus. Nam à mortuo corpore abest anima, sed antequam mortuum esset, nō aberat: at poesis ἄμυθος, & est & semper fuit ἄψυχος: ideóq; nūquam vixisse dici potest. Siquis autem mihi fidem adhibere non vult, dicenti non posse appellari poesin quæ fabulis careat, audiat Plutarchū: θυσίας μὲν γὰρ ἀχόρους καὶ ἀναύλους ἴσμεν, οὐκ ἴσμεν δὲ ἄμυθον οὐδὲ ἀψευδῆ ποίησιν. Vbi tamen ἄμυθον non simpliciter dicit illā quæ fabulis careat, sed illā, vt opinor, quæ fabulas poeticas, id est poesi conuenientes, nō habeat. Vtrocunque autem modo interpretari ἄμυθον velimus, hæc Empedoclis & cæterorum scripta, talia esse comperiemus: eorúmque autores carmen, tanquam vehiculū, ab arte poetica mutuatos esse, ne pedestri oratione vti cogerentur. Ac Plutarchū hic quoque testem laudabo: Empedoclis carmina (inquit) & Parmenidis, necnō Theriaca Nicandri, & Theognidis gnomologiæ, λόγοι εἰσὶ κεχρημένοι παρὰ ποιητικῆς, ὥσπερ ὄχημα, τὸν



ὄγκον καὶ τὸ μέτρον, ἵνα τὸ πεζὸν διαφύγωσιν. Verumenimuero quum plurima inueniri possint & fabularum eiusmodi & simul omnis vtilitatis expertia carmina, hæc contrà longè vtilissima esse, nemo est qui negare queat: nisi eadem opera inutilē philosophiæ naturalis cognitionem dicere ausit. Empedocles enim, Parmenides, & reliqui, vt physica tractant, ita physici & possunt & debent nominari: sicut à veteribꝰ vocari passim videmus. Et sanè M. Tullius non ob eam quā dixi causam, Empedoclem appellandū poetam non censet: sed potius quòd physici nomen magis illi, sicut & cæteris qui idem argumentum versibus tractarunt, conueniat. Hæc enim esse videtur eius sententia in isto loco libri De oratore primi, Nam si quisque, vt in aliqua arte & facultate excellens, aliam quoque artem sibi assumpserit, is perficiet vt quod præterea sciet, id, eius in quo exceller, pars quædam esse videatur: licet ista ratione dicamus, pila bene & duodecim scriptis ludere, proprium esse iuris ciuilis: quoniam vtrunque eorum P. Mutius optimè fecerit: eadémque ratione dicantur & quos φυσικοὺς Græci nominăt, iidem poetæ: quoniam Empedocles physicus egregium poema fecerit. Equidem vt hîc Cicero pulcherrimum Em-

pedoclis poema esse dicit, ita videmus ab Aristotele ὁμηρικὸν & δεινὸν περὶ τὴν φράσιν appellari: quinetiam τῷ περὶ τὴν φράσιν ἐπιτεύγματι illi tribui: sed tamen quandiu fixũ manebit id quod dixi, nimirum fabulas esse poeseωs velut animam, carmina illius versificatio potius quàm poesis dicẽda erũt: sicut etiam de Lucretii carminibus in eodem argumento, & de Lucani, in valde diuerso, iudicatum à plerisque fuit.

Iam verò siquis obiiciat, me, quanuis hoc dicam, inscripsisse tamen hos versus φιλόσοφον ποίησιν, non me Clementis Alexandrini autoritate tuebor, qui eos ita nominat (potius enim illis Aristotelis & Ciceronis quos attuli locis hunc titulũ defendere conarer) sed poeseωs appellatione sic abusum esse fatebor, vt multos huius abusus defensores habere possim. Atque vt Cicero se vsum loquẽ di populo concessisse, sciẽtiam sibi reseruasse dicebat, ita me contentum eo esse respondebo, quòd sciam me illa voce hîc abuti, qua vulgus se vti existimat. Verùm siue indigna siue digna nomine poeseωs haberi debent hæc carmina (fortassis enim quod de fabulis dixi, eiusmodi est vt refelli possit: ac cùm plerique alii versuũ scriptores, tum verò comici in eo sibi iniuriam fieri querẽtur) hoc saltem



constat, ex eorum illa numero esse quæ omnibus multũ prodesse, eos autem quibus iucũda est naturæ rerum inuestigatio, simul delectare queãt. Nisi potius, vt hæc sunt poematum illorum fragmenta duntaxat & reliquiæ, ita etiam reliquias tantùm huius vtilitatis pariter & delectationis esse dicamus.

Hæc autem (vt verum fatear) cur nunc ederem in causa fuit Aristoteles. quũ enim de huius philosophi operibus Græcè simul & Latinè edendis cogitarem, atque hoc animo ea euoluerem, incidi in illud Empedoclis fragmẽtum, quod omnium est longè pulcherrimum. Quum verò & apud Sextum philosophum (qui nondum Græcè editus est) habere me quædam simúlq; apud alios, recordarer, colligenda omnia, deinde idem in aliorum physicorum carminibus faciendum curaui. Empedocli autem primum locum, non tanquam omnium antiquissimo, sed tanquam præstantissimo, tribuendum censui. In qua honoris velut prærogatiua sum etiam Lucretii sequutus iudicium, qui magnis eum laudibus potius quàm cæteros dignatus est. Scribit enim lib. 1,

*Adde etiam, qui conduplicãt primordia rerũ,*
*Aera iungentes igni, terrámque liquori:*
*Et qui quattuor ex rebus posse omnia rentur,*

*Ex igni, terra atq; anima procreſcere, & imbri.*
*Quorum Acragantinus cum primis Empedo-*
*cles eſt,*
*Inſula quem triquetris terrarũ geſſit in oris.*

Et aliquot verſibus interiectis, quibus prædicat nonnulla quæ in ea viſenda ſunt, ſubiungit,

*Quæ quum magna modis multis mirãda vi- (detur*
*Gentibus humanis regio, viſendáque fertur,*
*Rebus opima bonis, multa munita virûm vi:*
*Nil tamen hoc habuiſſe viro præclarius in ſe,*
*Nec ſanctũ magis & mirũ clarúmq;, videtur.*
*Carmina quinetiam diuini pectoris eius*
*Vociferantur & exponunt præclara reperta:*
*Vt vix humana videatur ſtirpe creatus.*

Sed huius viri mors (dicet quiſpiam) vitam eius atque adeò ſapientiam dedecorat.

*--deus immortalis haberi*
*Dum cupit Empedocles, ardentem frigidus*
*AEtnam Inſiluit*

At ego ne ipſum quidem Horatium hoc quod ſcribebat credi diſſe exiſtimo: ac, ſiquis attentè locum illum cõſideret, factum hoc, non tanquam certum, ſed tanquam ita vulgatũ fama vt obiici poſſit, ab eo recitari animaduertet. Scio quidem & alios quoſdã ſcriptores idem de Empedoclis obitu memoriæ prodidiſſe: ſed fuiſſe viciſſim qui eos men-



dacii arguerent, non ignoro. Occaſionem autem huic rumori ſeu fabulæ præbuiſſe exiſtimo hæc illius verba,

χαίρετ'. ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνη- (τὸς,
πωλεῦμαι μετὰ πᾶσι τετιμένος.

Ad quæ Horatium reſpexiſſe ſuſpicor dum illa ſcriberet, *--deus immortalis haberi*
*Dum cupit Empedocles.*

Ac fortaſſis ille ipſe ſcriptor vnde iſtam (vt quidem appello) fabulam ſumpſit, hoc addebat, eum ita occultando ſuam mortem, voluiſſe confirmare quod de ſe iactauerat, ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος. Verùm, vt doctè & prudenter ſcribit Sextus philoſophus, nõ ita debẽt accipi illa verba, ſed aliud quiddam ſubeſſe illis putãdũ eſt. Qui Sexti locus (quòd nõdũ liber eius editus ſit) viſus eſt dignus qui proferretur, ὁ μὲν γὰρ γραμματικὸς καὶ ὁ ἰδιώτης ὑπολήψονται κατὰ ἀλαζονείαν καὶ τὴν πρὸς τοὺς ἄλλους ἀνθρώπους ὑπεροψίαν ταῦτ' ἀνεφθέγχθαι τὸν φιλόσοφον. ὅπερ ἀλλότριόν ἐστι τοῦ καὶ μετρίαν ἕξιν ἐν φιλοσοφίᾳ ἔχοντος, οὐχ ὅτι γε τοῦ τοσούτου ἀνδρός. ὁ δὲ ἀπὸ φυσικῆς ὁρμώμενος θεωρίας, σαφῶς γινώσκων ὅτι ἀρχαῖον ὅλως τὸ δόγμα ἐστὶ, τοῖς ὁμοίοις τὰ ὅμοια γινώσκεσθαι (ὅπερ ἀπὸ Πυθαγόρου δοκοῦν καταληλυθέναι, κεῖται μὲν καὶ παρὰ Πλάτωνι ἐν τῷ Τιμαίῳ, εἴρηται δὲ πολὺ πρότερον ὑπ' αὐτοῦ Ἐμπεδοκλέους) συνήσει

ὅτι ὁ Ἐμπεδοκλῆς θεὸν ἑαυτὸν προσηγόρευσεν, ἐπεὶ μόνος καθαρὸν ἀπὸ κακίας τηρήσας τὸν νοῦν καὶ ἀνεπιθόλωτον, τῷ ἐν αὐτῷ θεῷ τὸν ἐκτὸς θεὸν κατείληφεν.

Equidem non dubito quin idem Sextus talem de morte illius ſparſam famam pro nugaciſſima fabula habendam cenſuerit. Verùm hoc in incerto relinquẽdum eſt: at illius ſummum acumen ſummáque in rebus naturalibus perſpicacia, vel ex iis quas habet hic libellus reliquiis patere poteſt, ſi (vt eſt in prouerbio) ex vngue leonẽ æſtimare libeat.

Qualeſcunque autem ſint, eas tibi dicatas volui, vt ſicut tu amica recordatione poſt lõgum temporis interuallum me dignaris (elapſi enim ſunt multi anni ex quo mihi Auguſtæ frui tuo conſpectu licuit) ita me viciſſim tui memorem eſſe oſtenderem. Neque tamen memorem tui eſſe dũtaxat (hoc enim commune mihi cum innumeris eſſe poteſt, quibus tuus ille elegantiſſ. & doctiſſimus de ſtemmatis familiarum Romanarum liber tui memoriã aſſiduè renouat: quippe quem quotidie præ manibus habeant) ſed amore & omni obſeruantia pro eo ac debeo proſequi, velim exiſtimes. Vale.



# DE EMPEDOCLE.

## EX CICERONE.

### *in Lælio.*

*Agrigentinum quidem, doctum quendam virũ, carminibus Græcis vaticinatum ferunt: quæ in rerum natura totóque mundo conſtarent, quæque mouerentur, ea contrahere amicitiam, diſſipare diſcordiam.*

### ACADEM. QVAEST.

### *lib. 4.*

*Et tamen iſti phyſici raro admodum, quum hærent aliquo loco, exclamant quaſi mente cõcitati: Empedocles quidem, vt interdum mihi furere videatur: abſtruſa eſſe omnia, nihil nos ſentire, nihil cernere, nihil omnino quale ſit poſſe reperire.*

### *Ibidem.*

*Furere tibi Empedocles videtur: at mihi, digniſſimum rebus iis de quibus loquitur ſonum fundere. Num ergo is excæcat nos, aut orbat ſenſibus, ſi parum magnam vim cenſet in iis eſſe ad ea quæ ſub eos ſubiecta ſunt iudicanda?*

### DE NATVRA DEORVM

### *lib. 1.*

*Empedocles quatuor naturas, ex quibus omnia conſtare vult, diuinas eſſe cenſet.*

## EMPED. CARMINVM
### de reſpiratione interpretatio.

*Omnia ſic ducúntq; animã reddúntq; viciſſim.*
*Ex parte exangues per corporis vltima venæ*
*Se fundunt cunctæ, crebróq; feruntur hiatu*
*Ad nares: ſed ita vt cruor occultetur. & auræ*
*Acceſſus pateat facilis, facilíſque recurſus.*
*Hinc poſtquã mollis redit ad præcordia ſãguis,*
*Spiritus inflammans delabitur agmine longo.*
*Aſt vbi sũma petit cruor, hic tũ redditur: vt*
*Virgo domi ludẽs clepſydrã cepit ahenã, (quũ*
*Ora ſolet primùm formoſa occludere dextra,*
*Hinc in aquæ fundũ vas illud mergere mollis,*
*Nec dũ in vas acceſſus aquæ datur: arcet at il-*
*Aeris infuſi per crebra foramina moles, (lã*
*Dũ preſſam illa viã detexerit. ocius at tunc*
*Aere depulſo mollis ſeſe ingerit humor. (mas,*
*Sed quũ lympha quidem vaſis partes tenet i-*
*Virginis atq; manus ſtudioſè comprimit ora:*
*Spiritus obſiſtens illa vndam ſede coercet,*
*Circũ iſthmi portas ſtreperi ſuprema tenendo.*
*Dũ trahat illa manũ: tũ cõtrà quàm prius aer*
*Irrumpens mollem ſibi aquã concedere cogit.*
*Haud aliter tener ille cruor per mẽbra recur-*
*Dũ fuſus celeri rursũ petit intima curſu, (rẽs,*
*Longo alter ſtatim delabitur agmine fluxus:*
*Aſt vbi ſumma petit cruor, hic tum efflatur*
*abundé.*



## ALIA INTERPRETATIO
### Ioſephi Scaligeri.

*Sic flãt & reflant animãtia. habẽtur in omni*
*Corpore venarum ſalientes ſanguine caſſi.*
*Scilicet hinc cæcis crebrò terebrantur anhela*
*Callibus intercepta foramina nariũ, vt intra*
*Se capiat cruor, & facilis via detur in auras.*
*Ergo vbi præcipitẽ ſeſe dat in intima ſanguis,*
*Spirit⁹ intus ouãs citus incubat agmine preſſo:*
*Emicat vt, tunc aura reciprocat. haud ſecus*
*ac quum*
*Olim clepſydris virguncula ludit ahenis,*
*Atque caui digitos interſerit oſcula vaſi,*
*Inde loci liquidas ludẽs immerſat in vndas:*
*Tũ nec adhuc liquor inſinuat: ſed præſtruit il-*
*Stipatũ rimis in inanibus aeris agmen: (lum*
*Oſtia dum fluxus reſeret manus: ilicet intra*
*Aere depulſo tenuis graſſabitur humor.*
*Nec ſecus & fundo quũ ſederit humor in imo,*
*Et dum virgo caui digitis premit oſcula vaſi:*
*Tum laticẽ oppilans extrinſecus aura coërcet,*
*Anguſtum ſubigẽs ad iter, faucéſque ſonoras,*
*Donec iter laxet. tunc aeris agmine toto*
*Ocius irrumpente foras fugit incitus humor.*
*Sic quoq; qui sãguis per noſtros fluctuat artus,*
*Vt primùm refugo tractu petit ima reſorbens,*
*Dẽſior huic moles alia ingruit impete magno:*
*Vt verò erumpit, tunc fundo exæſtuat imo.*

## INDEX EORVM QVAE hic libellus complectitur.

EMPEDOCLIS carmina. Quæ incipiunt à pag. 17
XENOPHANIS, p 35
PARMENIDIS, p. 41
CLEANTHIS p. 49
Eiusdem iambi, p. 124
EPICHARMI, p. 54
TIMONIS, p. 60
CRITIAE, p 75
ORPHEI, p. 78
Carmina quæ à Proclo afferuntur, partim ſub λογίων, vel λογίου, partim ſub θεολογίας vel μυσταγωγίας θεοπαραδότου titulo, p. 105
MVSAEI, p. 109
LINI, p. 112
PYTHAGORAE aurea carmina, p. 114
Pythagoræ, ſeu Pythagoreorum alia carmina, p. 118
HERACLITI loci quidam, p. 129
Eiuſdem epiſtolæ, p. 142
DEMOCRITI loci quidam, p 156
Eiuſdem epiſtolæ, p 181
HIPPOCRATIS ad Democritum epiſtola, p 185, & 187
EMPEDOCLIS & aliorum vitæ, p. 203

# ἘΜΠΕΔΟΚΛΕΟΥΣ ἜΠΗ.

# EMPEDOCLIS CARMINA.

## Ex Ariſtotele.

*Intellige autem* φησὶ *(quod reponendum eſt pro* φασὶ*) de Empedocle.*

Γίνεσθαι δέ φησι τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν, διὰ τὸ φλέβας εἶναί τινας, ἐν αἷς ἔστι μὲν αἷμα, οὐ μέντοι πλήρεις εἶσιν αἵματος. ἔχουσι δὲ πόρους εἰς τὸν ἔξω ἀέρα, τῶν μὲν τοῦ σώματος μορίων ἐλάττους, τῶν δὲ τοῦ ἀέρος μείζους. διὸ τοῦ αἵματος κινεῖσθαι ἄνω καὶ κάτω πεφυκότος, κάτω μὲν φερομένου, εἰσρεῖν τὸν ἀέρα, καὶ γίνεσθαι ἀναπνοήν· ἄνω δ' ἰόντος, ἐκπίπτειν θύραζε, καὶ γίνεσθαι τὴν ἐκπνοήν· παρεικάζων τὸ συμβαῖνον ταῖς κλεψύδραις.

Ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ. πᾶσι λίφαιμοι
Σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται,
Καί σφιν ἐπιστομίοις πυκνοῖς τέτρηνται ἄλοξι
Ῥινῶν ἔσχατα τέρθρα διαμπερές· ὥστε φόνον μὲν
Κεύθειν, αἰθέρι δ' εὐπορίαν διόδοισι τετμῆσθαι.
Ἔνθεν ἔπειθ' ὁπόταν μὲν ἐπαΐξῃ τέρεν αἷμα,
Αἰθὴρ παφλάζων καταβήσεται οἴδματι μάργῳ·
Εὖτε δ' ἀναθρώσκει, πάλιν ἐκπνεῖ. ὥσπερ ὅταν παῖς
Κλεψύδραις παίζουσα δι' εὐπετέος χαλκοῖο,
Εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ' εὐειδεῖ χερὶ θεῖσα,
Εἰς ὕδατος βάπτησι τέρεν δέμας ἀργυφέοιο,

Οὐδὲ γ' ἐς ἄγγος ἔτ' ὄμβρος ἐσέρχεται· ἀλλά μιν εἴργει
Ἀέρος ὄγκος, ἔσωθι πεσὼν ἐπὶ τρήματα πυκνά,
Εἰσόκ' ἀποστεγάσῃ πυκινὸν ῥόον. αὐτὰρ ἔπειτα
Πνεύματος ἐλλείποντος, ἐσέρχεται αἴσιμον ὕδωρ.
Ὣς δ' αὔτως ὅθ' ὕδωρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ,
Πορθμοῦ χωσθέντος βροτέῳ χροῒ ἠδὲ πόροιο,
Αἰθὴρ δ' ἐκτὸς ἔσω λελιημένος ὄμβρον ἐρύκει,
Ἀμφὶ πύλας ἰσθμοῖο δυσηχέος ἄκρα κρατύνων,
Εἰσόκε χειρὶ μεθῇ· τότε δ' αὖ πάλιν ἔμπαλιν ἢ πρὶν
Πνεύματος ἐμπίπτοντος ὑπεκθεῖ αἴσιμον ὕδωρ.
Ὣς δ' αὔτως τέρεν αἷμα κλαδασσόμενον διὰ γυίων,
Ὁππότε μὲν παλίνορσον ἐπαΐξειε μυχόνδε,
Θάτερον αἰθὺς ῥεῦμα κατέρχεται οἴδματι θῦον,
Εὖτε δ' ἀναθρώσκει, πάλιν ἐκπνεῖ, ἶσον ὀπίσω.

## Ex eodem.

Ἐμπεδοκλῆς, καὶ οὗτος ταὐτὸ πέπονθε. τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν τῆς φθορᾶς, τὸ νεῖκος· δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο γεννᾷν ἐξ αὑτοῦ τοῦ ἑνός. ἅπαντα γὰρ ἐκ τούτου τἆλλα ἐστί, πλὴν ὁ θεός. λέγει γοῦν,

Ἐξ ὧν πάνθ' ὅσα τ' ἦν, ὅσα τ' ἔσθ', ὅσα τ' ἔσται ὀπίσω,
Δένδρεά τ' ἐβλάστησε, καὶ ἀνέρες, ἠδὲ γυναῖκες,
Θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς,
Καί τε θεοὶ δολιχαίωνες.



## Ex eodem, paulo post.

Τοῦτό γε φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι αἴτιον· ὁμοίως δὲ οὐδ' ἡ φιλότης τοῦ εἶναι. συνάγουσα γὰρ εἰς τὸ ἕν, φθείρει τὰ ἄλλα. καὶ ἅμα δὲ αὐτῆς τῆς μεταβολῆς αἴτιον οὐθὲν λέγει, ἀλλ' ὅτι οὕτως πέφυκεν,

Ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη,
Εἰς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο,
Ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλατο ὅρκου.

## Ex Aristotele.

*Nec solùm ab Aristotele, sed etiam à Sexto philosopho & aliis afferuntur sequentia Empedoclis carmina. Inter eos autem Sextus illos afferens, hæc præfatur,*

Ἐμπεδοκλῆς δὲ ὁ Ἀκραγαντῖνος, κατὰ μὲν τοὺς ἁπλούστερον δοκοῦντας αὐτὸν ἐξηγεῖσθαι, ἓξ κριτήρια τῆς ἀληθείας παραδίδωσι. δύο γὰρ δραστηρίους τῶν ὅλων ἀρχὰς ὑποθέμενος, φιλίαν καὶ νεῖκος, ἅμα τε τῶν τεσσάρων μνησθεὶς ὡς ὑλικῶν, γῆς τε καὶ ὕδατος, καὶ ἀέρος καὶ πυρός, πλάσας, ταῦτα ἔφη κριτήρια τυγχάνειν. παλαιὰ γάρ τις (ὡς προεῖπον ἄνωθεν) παρὰ τοῖς φυσικοῖς κυλίεται δόξα περὶ τοῦ τὰ ὅμοια τῶν ὁμοίων εἶναι γνωριστικά. Paulo pòst, Τοιαύτης δ' οὔσης παρὰ τοῖς προγενεστέροις δόξης, ἔοικε καὶ ὁ Ἐμπεδοκλῆς ταύτῃ συμπεριφέρεσθαι· ἕξ τε οὐσῶν τῶν τὰ πάντα συνεστακυιῶν ἀρχῶν, λέγειν ἰσάριθμα ταύταις ὑπάρχειν τὰ κριτήρια· δι' ὧν γέγραφε,

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
Αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
Στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

Ἐμφαίνων ὡς γῆν μὲν καταλαμβανόμεθα μετουσίᾳ γῆς,

ὕδωρ δὲ κατὰ μετοχὴν ὕδατος, ἀέρα δὲ μετουσίᾳ τοῦ ἀέρος· καὶ ἐπὶ πυρὸς τὸ ἀνάλογον. ἄλλοι δὲ ἦσαν οἱ λέγοντες, κατὰ τὸν Ἐμπεδοκλέα κριτήριον εἶναι τῆς ἀληθείας οὐ τὰς αἰσθήσεις, ἀλλὰ τὸν ὀρθὸν λόγον. τοῦ δὲ ὀρθοῦ λόγου τὸν μέν τινα, θεῖον ὑπάρχειν, τὸν δὲ, ἀνθρώπινον. ὧν τὸν μὲν θεῖον, ἀνέξοιστον εἶναι· τὸν δὲ ἀνθρώπινον, ἐξοιστόν. λέγει δὲ περὶ μὲν τοῦ μὴ ἐν ταῖς αἰσθήσεσι τὴν κρίσιν τἀληθοῦς ὑπάρχειν, οὕτως,

Στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται,
Πολλὰ δὲ δείν᾽ ἔπεα τάτ᾽ ἀμβλύνουσι μερίμνας.
Παῦρον δὲ ζωῆσι βίου μέρος ἀθρήσαντες,
Ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν,
Αὐτὸ μόνον πεισθέντες ὅτῳ προσέκυρσεν ἕκαστος,
Πάντοσ᾽ ἐλαυνόμενοι· τὸ δὲ ὅλον εὔχεται εὑρεῖν.
Οὕτως οὔτ᾽ ἐπιδερκτὰ τάδ᾽ ἀνδράσιν, οὔτ᾽ ἐπακουστὰ,
Οὔτε νόῳ περιληπτά.--

Περὶ δὲ τοῦ μὴ εἰς τὸ παντελὲς ἄληπτον εἶναι τὴν ἀλήθειαν, ἀλλ᾽ ἐφ᾽ ὅσον ἱκνεῖται ὁ ἀνθρώπινος λόγος ληπτὴν ὑπάρχειν, διασαφεῖ, τοῖς προκειμένοις ἐπιφέρων,

--σὺ οὖν ἐπεὶ ὧδ᾽ ἐλιάσθης,
Πεύσεαι, οὐ πλεῖόν γε βροτείη μῆτις ὄρωρε.

Καὶ διὰ τῶν ἑξῆς ἐπιπλήξας τοῖς πλέον ἐπαγγελλομένοις γινώσκειν, παρίστησιν ὅτι τὸ δι᾽ ἑκάστης αἰσθήσεως λαμβανόμενον, πιστόν ἐστι, τοῦ λόγου τούτων ἐπιστατοῦντος· καίτοι πρότερον καταδραμὼν τῆς ἀπ᾽ αὐτῶν πίστεως. φησὶ γὰρ,

Ἀλλὰ θεοὶ τῶν μὲν μανίην ἀπετρέψατε γλώσσης,
Ἐκ δ᾽ ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν.



Καί σε πολυμνήστη λευκώλενε παρθένε μοῦσα
Ἄντομαι ὧν θέμις ἐστὶν ἐφημερίοισιν ἀκούειν·
Πέμπε παρ᾽ εὐσεβίης ἐλάουσ᾽ εὐήνιον ἅρμα.
Μηδέ σέ γ᾽ εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς
Πρὸς θνατῶν ἀνελέσθαι, ἐφ᾽ ᾧ θ᾽ ὁσίης πλέον εἰπεῖν.
Θάρσει, καὶ τότε δὴ σοφίης ἐπ᾽ ἄκροισι θοάζει.
Ἀλλὰ γὰρ ἄθρει πᾶς παλάμη πῇ δῆλον ἕκαστον,
Μήτε τιν᾽ ὄψιν ἔχων πίστει πλέον ἢ κατ᾽ ἀκουὴν,
Ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης,
Μήτε τι τῶν ἄλλων ὁπόση πόρος ἐστὶ νοῆσαι.
Γυίων πίστιν ἔρυκε, νόει θ᾽ ᾗ δῆλον ἕκαστον.

## Ex Plutarcho,& aliis.

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε.
Ζεὺς ἀργὴς, ἥρη τε φερέσβιος, ἠδ᾽ ἀϊδωνεύς·
Νῆστίς θ᾽ ἢ δακρύοις τέγγει κρούνωμα βρότειον.

Ἄλλοτε μὲν φιλότητι συνερχόμεν᾽ εἰς ἓν ἅπαντα,
Ἄλλοτε δ᾽ αὖ δίχ᾽ ἕκαστα φορεύμενα νείκεος ἔχθει.

Πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἤπιον ὕψος,
Νεῖκός τ᾽ οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ,
Καὶ φιλότης μετὰ τοῖσιν, ἴση μῆκός τε πλάτος τε·
Τὴν σὺ νόῳ δέρκου, μηδ᾽ ὄμμασιν ἧσο τεθηπώς.

## Ex Plutarcho.

Ἐμπεδοκλῆς φύσιν μηδὲν εἶναι, μίξιν δὲ τῶν στοιχείων καὶ διά-

στασιν. γράφει γὰρ οὕτως ἐν τῷ πρώτῳ φυσικῷ,

Ἄλλο δέ σοι ἐρέω· φύσις οὐδενός ἐστιν ἑκάστου
Θνητῶν, οὐδέ τις οὐλομένη θανάτοιο γενέθλη·
Ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων
Ἐστί, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισι.

## Ex eodem.

Νήπιοι, οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
Οἳ δὴ γίνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν,
Ἤτοι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἁπάντη.

Ταῦτα γὰρ τὰ ἔπη, μέγα βοῶντος ἐστὶ τοῖς ὦτα ἔχουσιν, ὡς οὐκ ἀναιρεῖ γένεσιν, ἀλλὰ τὴν ἐκ μὴ ὄντος· οὐδὲ φθοράν, ἀλλὰ τὴν πάντη· τουτέστι τὴν εἰς τὸ μὴ ὂν ἀπολύουσαν. ἐπεί τῷ γε βουλομένῳ μὴ ἀγρίως οὕτω μηδὲ ἠλιθίως ἀλλὰ πρᾳότερον συκοφαντεῖν, τὸ μετὰ ταῦτα ἐπὶ τοὐναντίον ἂν αἰτίασιν παράσχοι, τοῦ Ἐμπεδοκλέους λέγοντος,

Οὐκ ἂν ἀνὴρ τοιαῦτα σοφὸς φρεσὶ μαντεύσαιτο,
Ὡς ὄφρα μέν τε βιῶσι, τὸ δὴ βίοτον καλέουσι
Τόφρα μὲν οὖν εἰσί, καί σφι πάρα δεινὰ καὶ ἐσθλά,
Πρὶν δὲ πάγεν τε βροτοὶ καὶ λυθέντες οὐδὲν ἄρ' εἰσί.

Ταῦτα γάρ, οὐκ ἀρνουμένου μὴ εἶναι τοὺς γεγονότας καὶ ζῶντας, ἐστίν, εἶναι δὲ μᾶλλον οἰομένου καὶ τοὺς μηδέπω γεγονότας καὶ τοὺς ἤδη τεθνηκότας.

## Ex Diogene Laertio.

Τοῦτον [Γοργίαν τὸν Λεοντῖνον] φησὶν ὁ Σάτυρος λέγειν ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν



διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω· δι' ὧν φησι,

Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ,
Πεύσῃ· ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα.
Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵτ' ἐπὶ γαῖαν
Ὀρνύμενοι, πνοιαῖσι καταφθινύθουσιν ἀρούρας·
Καὶ πάλιν ἢν ἐθέλῃσθα, παλίντιτα πνεύματ' ἐπάξεις.
Θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
Ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
Ῥεύματα δενδρεόθρεπτα, τὰ δ' ἐν θέρει ἀήσονται·
Ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

## Ex Diogene Laertio, & aliis.

Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως, ἀγαθῶν μελεδήμονες ἔργων,
Χαίρετ'· ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητός,
Πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
Ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείης,
Τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
Ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι. οἱ δ' ἅμ' ἕπονται
Μυρίοι, ἐξερέοντες ὅπῃ πρὸς κέρδος ἀταρπός,
Οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δὲ καὶ νούσων
Παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

Ἀλλὰ τί τοῖσδ' ἐπίκειμ', ὡσεὶ μέγα χρῆμά τι πράσσων,
Εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;

## Ex Athenæo, & aliis.

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρη τε κόρος τε,
Θάμνος τ' οἰωνός τε, καὶ εἰν ἁλὶ ἔλλοπος ἰχθύς.

## Ex Sexto philoſopho.

Οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε
Ἀλλήλους δάπτοντες ἀκηδείῃσι νόοιο;

Μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας,
Σφάζει ἐπευχόμενος, μέγα νήπιος. οἱ δὲ πορεῦνται
Λισσόμενον θύοντες. ὁ δ' ἀνήκουστος ὁμοκλέων,
Σφάξας, ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα.
Ὡς δ' αὕτως πατέρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες
Θυμὸν ἀπορραίσαντα, φίλας κατὰ σάρκας ἔδουσι.

## Ex Athenæo.

Αἶψα δὲ θνητὰ φύοντο τὰ πρὶν μάθον ἀθάνατ' εἶναι,
Ζωρά τε τὰ πρὶν ἄκρητα, διαλλάττοντα κελεύθους.

## Ex Plutarcho.

Ἐμπεδοκλῆς δὲ καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας ὧν ἐξαμάρτωσι καὶ πλημμελήσωσι.

Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
Πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐσαῦθις



Ἠελίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις.
Ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

## Ex eodem.

Οὐ γὰρ (ὡς ὁ Μένανδρος φησὶν) Ἅπαντι δαίμων ἀνδρὶ συμπαραστατεῖ Εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου ἀγαθός, ἀλλὰ μᾶλλον (ὡς Ἐμπεδοκλῆς) διτταί τινες ἕκαστον ἡμῶν γενόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες.

Ἔνθ' ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις,
Δῆρίς θ' αἱματόεσσα, καὶ Ἁρμονίη ἱμερῶπις.
Καλλιστώ τ' Αἰσχρή τε, Θόωσά τε, Δειναίη τε,
Νημερτής τ' ἐρόεσσα, μελάγκαρπός τ' Ἀσάφεια.

Ὥστε τούτων ἑκάστου σπέρματα τῶν παθῶν ἀνακεκραμένα δεδεγμένης ἡμῶν τῆς γενέσεως, καὶ διὰ τοῦτο πολλὴν ἀνωμαλίαν ἐχούσης, εὔχεται μὲν ὁ νοῦν ἔχων τὰ βελτίονα, προσδοκᾷ δὲ καὶ θάτερα· χρῆται δὲ ἀμφοτέροις, τὸ ἄγαν ἀφαιρῶν.

## Ex eodem.

Ὁ δὲ Ἐμπεδοκλῆς ἐν ἀρχῇ τῆς φιλοσοφίας προαναφωνήσας,

Ἔστι τι ἀνάγκης χρῆμα θεῶν ψήφισμα παλαιὸν,
Εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα γυῖα μιήνῃ,
Δαίμονες οἵτε μακραίωνες λελόγχασι βίοιο,
Τρίς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι·
Τὴν καὶ ἐγὼ νῦν εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης,

οὐχ ἑαυτὸν ἀλλ' ἀφ' ἑαυτοῦ πάντας ἀποδείκνυσι μετανάστας ἐνταῦθα καὶ ξένους καὶ φυγάδας ἡμᾶς ὄντας.

## Ex eodem.

Ὁ μὲν οὖν τῷ ἀέρι τὴν προτέραν ἀποδιδοὺς τῆς ψυχρότη-

τὴς δύναμιν, ὦ Φαβωρῖνε, λόγος, ἐν τοιαύταις ὅσῃ πιθανότησιν· ὁ δὲ τῷ ὕδατι, λαμβάνει μὲν καὶ αὐτὸς ἀρχὰς ὁμοίως· οὕτω πως τοῦ Ἐμπεδοκλέους λέγοντος,

Ἠέλιον μὲν λαμπρὸν ὁρᾶν καὶ θερμὸν ἁπάντῃ,
Ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε.

τῷ γὰρ θερμῷ τὸ ψυχρὸν, ὡς τῷ λαμπρῷ τὸ μέλαν, ἀντιτάξας, συλλογίσασθαι δέδωκεν ὅτι τῆς αὐτῆς οὐσίας ἐστὶ τὸ μέλαν καὶ τὸ ψυχρὸν, ὡς τῆς αὐτῆς τὸ λαμπρὸν καὶ τὸ θερμόν.

## Ex eodem.

Καὶ τὸν θεὸν ὁρᾷς (ὃν ἀριστοτέχναν ἡμῶν ὁ Πίνδαρος προσεῖπεν) οὐ πανταχοῦ τὸ πῦρ ἄνω τάττοντα καὶ κάτω τὴν γῆν, ἀλλ' ὡς ἂν αἱ χρεῖαι τῶν σωμάτων ἀπαιτῶσι,

Τοῦτο μὲν ἐν κόγχαισι θαλασσονόμοις βαρυ-
νώτοις,
Ναὶ μὴν κηρύκων τε λιθορρίνων χελύων τε,
(φησὶν Ἐμπεδοκλῆς)
Ἔνθ' ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν,

οὐχ ἣν ἡ φύσις δίδωσι χώραν, ἀλλ' ἣν ἡ πρὸς τὸ κοινὸν ἔργον ποθεῖ σύνταξις, ταύτην ἐχούσας.

## Ex eodem.

Ἡ δὲ πέψις ἔοικεν εἶναι σῆψις, ὡς Ἐμπεδοκλῆς μαρτυρεῖ, λέγων,

Οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλῳ ὕδωρ.

## Ex Galeno.

Ἐν γὰρ θερμοτέρῳ τὸ κατ' ἄρρενα ἔπλετο γαίης.
Καὶ μέλανες διὰ τοῦτο καὶ ἀνδρωδέστεροι ἄνδρες,
Καὶ λαχνήεντες μᾶλλον.



## Ex enarratore Nicandri.

Ἤδη ἦσαν κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ,
θῆρές τ' ἀνθρωποί τε· φιλοφροσύνη τε δεδήει.

## Ex Clemente Alex.

Ὑμῖν δὲ καὶ ὁ ὑμέτερος ὑποδύεται ποιητὴς, ὁ Ἀκραγαντῖνος Ἐμπεδοκλῆς,

Τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν,
Οὔποτε δειλαίων ἀχέων λωφήσετε θυμόν.

## Ex eodem.

Φησὶ δὲ καὶ ὁ Ἐμπεδοκλῆς τῶν σοφῶν τὰς ψυχὰς θεοὺς γίνεσθαι, ὧδέ πως γράφων,

Εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ
Καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται·
Ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῇσι φέριστοι.

## Ex eodem.

Καί μοι σφόδρα ἐπαινεῖν ἔπεισι τὸν Ἀκραγαντῖνον ποιητὴν, ἐξυμνοῦντα τὴν πίστιν ὧδέ πως,

Ὦ φίλοι, οἶδα μὲν οὖν, ἔκ τ' ἀληθείη παρὰ μύθοις
Οὓς ἐγὼ ἐξερέω. μάλα δ' ἀργαλέη γε τέτυκται
Ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁρμή.

## Ex eodem Clemente.

Ἐνέχυρον γὰρ τῆς ἀληθείας τὴν ἀπόδειξιν ἀπαιτοῦσιν οἱ πολλοὶ, οὐκ ἀρκούμενοι ψιλῇ τῇ ἐκ πίστεως σωτηρίᾳ.

Ἀλλὰ κακοῖς μὲν κάρτα πέλει κρατέουσιν ἀπιστεῖν,
Ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα μούσης,

Γνῶθι διατμηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.

Τοῖς μὲν γὰρ κακοῖς τοῦτο σύνηθες, φησὶν ὁ Ἐμπεδοκλῆς, τὸ ἐθέλειν κρατεῖν τῶν ἀληθῶν διὰ τοῦ ἀπιστεῖν.

## Ex eodem.

Ἄμεινον δὲ ἐκδέχεσθαι τὸν αἰθέρα, πάντα συνέχοντα καὶ σφίγγοντα· καθὰ καὶ ὁ Ἐμπεδοκλῆς φησιν,

--εἰ δ' ἄγε τοι λέξω πρῶθ' ἥλιον ἀρχήν,
Ἐξ ὧν δὴ ἐγένοντο τὰ νῦν ἐσορώμενα πάντα,
Γαῖά τε καὶ πόντος πολυκύμων, ἠδ' ὑγρὸς ἀήρ,
Τιτάν, ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα.

## Ex eodem.

Τὸ γάρ τοι θεῖον, ὁ Ἀκραγαντῖνος φησὶ ποιητής,

Οὐκ ἔστιν πελάσασθ', οὐδ' ὀφθαλμοῖσιν ἐφικτὸν
Ἡμετέροις, ἢ χερσὶ λαβεῖν. ᾗπέρ τε μεγίστη
Πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει.

## Ex eodem.

Ἢν δὲ ὁσίως καὶ δικαίως διαβιώσωμεν, μακάριοι μὲν ἐνταῦθα, μακαριώτεροι δὲ μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν· οὐ χρόνῳ τινὶ τὴν εὐδαιμονίαν ἔχοντες, ἀλλὰ ἐν αἰῶνι ἀναπαύεσθαι δυνάμενοι,

Ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, ἔν τε τραπέζαις
Ἐόντες ἀνδρείων ἀχέων ἀπόκληροι, ἀπηρεῖς.

ἡ φιλόσοφος Ἐμπεδοκλέους λέγει ποιητική.

## Ex eodem Clemente.

Ὄλβιος ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον,
Δειλὸς δ' ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.



## Ex eodem.

Ἡράκλειτος γοῦν κακίζων φαίνεται τὴν γένεσιν. ἐπειδάν, φησί, γενόμενοι ζώειν ἐθέλουσι, μόρους τ' ἔχειν, μᾶλλον δὲ ἀναπαύεσθαι· καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι. δῆλος δὲ αὐτῷ συμφερόμενος καὶ Ἐμπεδοκλῆς, λέγων,

Κλαῦσά τε καὶ κώκυσα, ἰδὼν ἀσυνήθεα χῶρον.

καὶ ἔτι,

Ἐκ μὲν γὰρ ζωῶν ἐτίθει νεκρά, ἠδὲ ἀμείβων.

καὶ πάλιν,

Ὢ πόποι, ἦ δειλὸν θνητῶν γένος, ὦ δυσάνολβον·
Οἵων ἐξ ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε.

## Ex eodem.

Ὅθεν εἰκότως καλούμενος ὁ γνωστικὸς ὑπακούει ῥαδίως, καὶ τῷ τὸ σωμάτιον αἰτοῦντι, φέρων προσδίδωσι καὶ τὰ πάθη, προσαποδυόμενος τοῦ σαρκίου ταῦτα· οὐχ ὑβρίζων τὸν πειράζοντα, παιδεύων δέ, οἶμαι, καὶ ἐλέγχων,

--ἐξ οἵης τιμῆς καὶ οἵου μήκεος ὄλβου
(ὥς φησιν Ἐμπεδοκλῆς)
ὧδε λιπὼν μετὰ θνητῶν ἀναστρέφεται. *

## Ex Athenæo, & Porphyrio.

Οὐδέ τις ἦν κείνοισιν Ἄρης θεός, οὐδὲ Κυδοιμός,
Οὐδὲ Ζεὺς βασιλεύς, οὐδ' ὁ Κρόνος, οὐδ' ὁ Ποσειδῶν·
Ἀλλὰ Κύπρις βασίλεια. ἥ ἐστιν ἡ φιλία.
Τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο.
Γραπτοῖς τε ζώοισι, μύροισί τε δαιδαλεόσμοις,
Σμύρνης τ' ἀκράτου θυσίαις, λιβάνου τε θυώδους·

Ξουθῶν τε σπονδὰς μελιτῶν ῥιπτοῦντες ἐς οὖδας·
Ταύρων δ' ἀκρίτοισι φόνοις οὐ δεύετο βωμός·
Ἀλλὰ μύσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον,
Θυμὸν ἀπορραίσαντας ἐέλμεναι ἠΐα γυῖα.

## Ex Porphyrio.

Οἴμοι ὅτ' οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ
Πρὶν σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.

*Sunt autem hi versus, sicut & proximè praecedentes, eiusdem argumenti cum illis quos antea habuisti, ex Sexto philosopho: quorum initium est,* Οὐ παύσεσθε φόνοιο δυσηχέος;

## Ex Tzetze.

Ἐμπεδοκλῆς τί ὁ θεός, τάδε κατ' ἔπος λέγει,
Οὐ μὲν γὰρ βροτέῃ κεφαλῇ κατὰ γυῖα κέκασται·
Οὐ μὲν ἀπαὶ νώτων γε δύο κλάδοι ἀΐσσουσιν,
Οὐ πόδες, οὐ θοὰ γοῦνα, καὶ μήδεα λαχνήεντα·
Ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον,
Φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.

## Ex Diogene Laertio.

Ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,
Ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον.

## Ex Plutarcho.

Ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐγόμφωσε καὶ ἔδησε.

## Ex eodem.

--αὐτὰρ ἐχίνοις
Ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασι.

*Nam perperam apud illum legitur,*

—αὐτὰρ ἔχινος
Ὀξυβελὴς δέ τε νώτοις ἐπιπεφρίκασι.



## Ex eodem Plut. & Theodorito.

Οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει, οὐδὲ περισσόν.

## Ex Plutarcho & Macrobio.

*Singula autem ad se similitudinem sui rapere, (inquit Macrobius) testis est Empedocles: qui ait,*

Ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ
πικρὸν ὄρουσεν,
Ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, θερμὸν δ' ἐποχεύετο θερμῷ.

## Ex Diogene Laertio.

Παυσανία, σὺ δὲ κλῦθι δαΐφρονος Ἀγχίτου υἱέ.

## Ex eodem.

Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτου υἱὸν
Φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα·
Ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι
Φῶτας ἀπέστρεψεν Φερσεφόνης ἀδύτων.

## Ex eodem.

Ἄκρον ἰητρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς ἄκρου
Κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

# ΞΕΝΟΦΑ'ΝΟΥΣ ἜΠΗ.

# XENOPHANIS CARMINA.

## Ex Sexto philosopho.

Ἐν τούτοις δέ εἰσι καὶ οἱ ἀπὸ τῆς σκέψεως· ὧν Ξενοφάνης μὲν κατά τινας, εἰπὼν πάντα ἀκατάληπτα, ἐπὶ ταύτης ἐστὶ τῆς φορᾶς, ἐν οἷς γράφει,

Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν, οὐδέ τις ἔσται
Εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων.
Εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
Αὐτὸς ὅμως οὐκ οἶδε· δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

Διὰ τούτων γὰρ σαφὲς μὲν ἔοικε λέγειν τἀληθὲς καὶ τὸ γνώριμον. καθὸ καὶ λέγεται, Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. Ἄνδρα δὲ, τὸν ἄνθρωπον, τῷ εἰδικῷ καταχρώμενος ἀντὶ τοῦ γένους. εἶδος γὰρ ἀνθρώπου καθέστηκεν ὁ ἀνήρ. Paucis interiectis, Ἀμφὶ θεῶν δὲ, ὑποδειγματικῶς, περί τινος τῶν ἀδήλων. Δόκον δὲ, τὴν δόκησιν καὶ τὴν δόξαν. ὥστε τοιοῦτον εἶναι κατ' ἐξάπλωσιν τὸ ὑπ' αὐτοῦ λεγόμενον, Τὸ μὲν οὖν ἀληθὲς καὶ γνώριμον οὐδεὶς ἄνθρωπος οἶδε τό γε ἐν τοῖς ἀδήλοις πράγμασι. κἂν γὰρ ἐκ τύχης ἐπιβάλλῃ τούτῳ, ὅμως οὐκ οἶδεν ὅτι ἐπιβέβληκεν αὐτῷ, ἀλλ' οἴεται καὶ δοκεῖ.

## Ex eodem.

Εὖ γ' οὖν καὶ Ξενοφάνης ὁ Κολοφώνιος, διδάσκων ὅτι εἷς καὶ ἀσώματος ὁ θεός, ἐπιφέρει,

Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
Οὔτι δέμας θνητοῖσιν ὁμοίιος, οὐδὲ νόημα.

Καὶ πάλιν,

--ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι,
Τὴν σφετέρην δ' ἐσθῆτα ἔχειν, φωνήν τε δέμας τε.

Καὶ πάλιν,

Ἀλλ' εἴτοι χεῖράς γ' εἶχον βόες ἠὲ λέοντες,
Ἢ γράψαι χείρεσσι, καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
Ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖοι
Καί κε θεῶν ἰδέας ἔγραφον, καὶ σώματ' ἐποίουν
Τοιαῦθ' οἷόν περ καὶ αὐτοὶ δέμας εἶχον ὁμοῖον.

## Ex Sexto philoſopho.

Ἐκ γαίης γὰρ πάντα, καὶ εἰς γῆν πάντα τελευτᾷ.

## Ex eodem.

Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.

## Ex eodem.

Ἔνθεν καὶ ὁ Ξενοφάνης, διελέγχων τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδον, φησί,

Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε
Ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστί,
Κλέπτειν, μοιχεύειν τε, καὶ ἀλλήλους ἀπατεύειν.



## Ex eodem.

Ὅμηρος δὲ καὶ Ἡσίοδος κατὰ τὸν Κολοφώνιον Ξενοφάνη,

Οἳ πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
Κλέπτειν, μοιχεύειν τε, καὶ ἀλλήλους ἀπατεύειν.

## Ex Stobæo.

Οὔτοι ἀπαρχῆς πάντα θεοὶ θνητοῖς ἐπέδειξαν,
Ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

## Ex Athenæo.

Ἀλλ' εἰ μὲν ταχύτητι ποδῶν νίκην τις ἄροιτο,
  Ἢ πενταθλεύων ἔνθα Διὸς τέμενος,
Πὰρ Πίσαο ῥοῆς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
  Ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
Εἴτέ τι δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
  Ἀστοῖσι κ' εἴη κυδρότερος πρὸς ἄκρα,
Καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
  Καί κε σιτεῖη δημοσίων κτεάνων,
Ἐκ πόλεως καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη,
  Εἴτε καὶ ἵπποισιν, ταῦτά γ' ἅπαντα λάχοι.
Οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγώ. ῥώμης γὰρ ἀμείνων
  Ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
Ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
  Προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
Οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσιν ἔτ' εἴη,
  Οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην·
Οὐδὲ μὲν εἰ ταχύτητι ποδῶν, τόπερ ἐστὶ πρότιμον
  Ῥώμης, ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει·
Τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη.

Σμικρὸν δ' αὖ τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ,
Εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας.
Οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

## Ex eodem.

Ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνη, πλῆρες ὂν πάσης θυμηδίας,

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν, καὶ χεῖρες ἁπάντων,
Καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεὶς στεφάνους,
Ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει,
Κρατὴρ δ' ἕστηκεν μεστὸς ἐϋφροσύνης·
Ἄλλος δ' οἶνος ἕτοιμος, ὃς οὔποτε φησὶ προδώσειν
Μείλιχος, ἐν κεράμοις ἄνθεος ὀσδόμενος.
Ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι,
Ψυχρὸν δ' ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν.
Πάρκεινται δ' ἄρτοι ξανθοὶ, γεραρή τε τράπεζα,
Τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη.
Βωμὸς δ' ἄνθεσιν αὖ τὸ μέσον πάντη πεπύκασται,
Μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
Χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
Εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις·
Σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
Πρήσσειν· ταῦτα γὰρ ὦν ἐστὶ προχειρότερον.
Οὐχ ὕβρις πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο
Οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος.
Ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει
Ὥς ἡ μνημοσύνη, καὶ τὸν ὃς ἀμφ' ἀρετῆς,



Οὔτι μάχας διέπειν Τιτήνων, οὐδὲ γιγάντων,
Οὐδέ τε κενταύρων ἢ στάσιας προτέρων
Φενδόνας, τοῖς οὐδὲν χρηστὸν ἔνεστι *
Θεῶν προμηθείην αἰὲν ἔχειν ἀγαθήν.

## Ex eodem.

Καὶ Ξενοφάνης δ' ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησὶν,

Πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος ἤραο πῖον
Ταύρου λαρινοῦ τίμιον ἀνδρὶ λαχεῖν·
Τοῦ κλέος Ἑλλάδα πᾶσαν ἀφίξεται, οὐδ' ἀπολήξει,
Ἔστ' ἂν ἀοιδάων ᾖ γένος Ἑλλαδικόν.

## Ex Diogene Laertio.

Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον αὐτὸν [τὸν Πυθαγόραν] γεγενῆσθαι Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή,

Νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.

ὃ δὲ περὶ αὐτοῦ φησιν, οὕτως ἔχει,

Καὶ ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα,
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος,
Παῦσαι, μηδὲ ῥάπιζ'· ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

# ΠΑΡΜΕΝΙΔΟΥ ἜΠΗ.

# PARMENIDIS CARMINA.

## Ex Sexto philoſopho.

Ὁ δὲ γνώριμος αὐτοῦ [τοῦ Ξενοφάνους] Παρμενίδης τοῦ μὲν δοξαστοῦ λόγου κατέγνω, φημὶ δὲ τοῦ ἀσθενεῖς ἔχοντος ὑπολήψεις· τὸν δ' ἐπιστημονικὸν, τουτέστι τὸν ἀδιάπτωτον, ὑπέθετο κριτήριον, ἀποστὰς καὶ τῆς τῶν αἰσθήσεων πίστεως. ἐναρχόμενος γοῦν τοῦ περὶ φύσεως, γράφει τὸν τρόπον τοῦτον,

Ἵπποι ταί με φέρουσιν ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι
Πέμπον, ἐπεί μ' ἐς ὁδὰν γ' ἦσαν πολύφημον ἄγουσαι
Δαίμονος ἣ κατὰ πάντ' ατηφερει εἰδότα φῶτα,
Τῇ φερόμην. τῇ γάρ με πολύφρασοι φέρον ἵπποι
Ἅρμα τιταίνουσαι, κοῦραι δ' ὁδὸν ἡγεμόνευον.
Ἄξων δ' ἐν χνοίῃσι σύριγγος αὐτὴν
Αἰθόμενος. δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσι
Κύκλοις ἀμφοτέρωθεν, ὅτε σπερχοίατο πέμπειν
Ἡλιάδες κοῦραι προλιποῦσαι δώματα νυκτὸς,
Εἰς φάος ὠσάμεναι κράτερῶν ἀπὸ χερσὶ καλύπτρας,
Ἔνθα πύλαι νυκτός τε καὶ ἤματος εἰσὶ κελεύθων.

Καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάϊνος οὐδός,
Αὐταὶ δ' αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις.
Τῶν δὲ δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς.
Τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισιν,
Πεῖσαν ἐπιφραδέως ὥς σφιν βαλανωτὸν ὀχῆα
Ἀπτερέως ὤσειε πυλέων ἄπο. ταὶ δὲ θυρέτρων
Χάσμ' ἀχανὲς ποίησαν, ἀναπτάμεναι πολυχάλκους
Ἄξονας ἐν σύριγξιν ἀμοιβαδὸν εἰλίξασαι
Γόμφοις καὶ περόνῃσιν ἀρηρότα. τῇ ῥα δι' αὐτῶν
Ἰθὺς ἔχον κοῦραι κατ' ἀμαξιτὸν ἅρμα καὶ ἵππους.
Καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ
Δεξιτερὴν ἕλεν. ὧδε δ' ἔπος φάτο, καί με προσηύδα,
Ὦ κοῦρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν,
Ἵπποι ταί σε φέρουσιν ἱκάνων ἡμέτερον δῶ,
Χαῖρ', ἐπεὶ οὔτι σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι
Τήνδ' ὁδόν· ἦ γὰρ ἀπ' ἀνθρώπων ἐκτὸς πάτου ἐστίν·
Ἀλλὰ θέμις τε δίκη τε. χρεὼ δέ σε πάντα πυθέσθαι,
Ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεμὲς ἦτορ,
Ἠδὲ βροτῶν δόξας ταῖς οὐκ ἔνι πίστις ἀληθής.
Ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα,
Μηδέ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω
Νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν
Καὶ γλῶσσαν· κρῖναι δὲ λόγῳ πολύπειρον ἔλεγχον



Ἐξ ἐμέθεν ῥηθέντα. μόνος δ' ἔτι θυμὸς ὁδοῖο
Λείπεται.

Ἐν τούτοις γὰρ ὁ Παρμενίδης ἵππους μέν φησιν αὐτὸν φέρειν τὰς ἀλόγους τῆς ψυχῆς ὁρμάς τε καὶ ὀρέξεις· κατὰ δὲ τὴν πολύφημον ὁδὸν τοῦ δαίμονος πορεύεσθαι τὴν κατὰ τὸν φιλόσοφον λόγον θεωρίαν. ὡς λόγος προπομποῦ δαίμονος τρόπον ἐπὶ τὴν ἁπάντων ὁδηγεῖ γνῶσιν. Κούρας δ' αὐτοῦ προάγειν τὰς αἰσθήσεις. ὧν τὰς μὲν ἀκοὰς αἰνίττεται ἐν τῷ λέγειν, δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσι κύκλοις· τουτέστι τοῖς τῶν ὤτων, τὴν φωνὴν δι' ὧν καταδέχονται. τὰς δὲ ὁράσεις, ἡλιάδας κούρας κέκληκε· δώματα μὲν νυκτὸς ἀπολειπούσας, ἐς φάος ὠσαμένας, διὰ τὸ μὴ χωρὶς φωτὸς γίνεσθαι τὴν χρῆσιν αὐτῶν. ἐπὶ δὲ τὴν πολύποινον ἐλθεῖν δίκην, καὶ ἔχουσαν κληῖδας ἀμοιβούς, τὴν διάνοιαν, ἀσφαλεῖς ἔχουσαν τὰς τῶν πραγμάτων καταλήψεις. ἥτις αὐτὸν ὑποδεξαμένη ἐπαγγέλλεται δύο ταῦτα διδάξειν, Ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεμὲς ἦτορ, ὅπερ ἐστὶ τὸ τῆς ἐπιστήμης ἀμετακίνητον βῆμα· ἕτερον δέ, βροτῶν δόξας ταῖς οὐκ ἔνι πίστις ἀληθής· τουτέστι, τὸ ἐν δόξῃ κείμενον πᾶν, ὅτι ἦν ἀβέβαιον. Καὶ ἐπὶ τέλει προσδιασαφεῖ τὸ μὴ δεῖν ταῖς αἰσθήσεσι προσέχειν, ἀλλὰ τῷ λόγῳ. Μὴ γάρ σε (φησὶν) ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω, Νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουήν, Καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύπειρον ἔλεγχον Ἐξ ἐμέθεν ῥηθέντα. Ἀλλ' οὗτος μὲν καὶ αὐτὸς (ὡς ἐκ τῶν εἰρημένων συμφανές) τὸν ἐπιστημονικὸν λόγον κανόνα τῆς ἐν τοῖς οὖσιν ἀληθείας ἀναγορεύσας, ἀπέστη τῆς τῶν αἰσθήσεων ἐπιστάσεως. Ἐμπεδοκλῆς δὲ &c.

## Ex Clemente.

Ἀφικόμενος οὖν ἐπὶ τὴν ἀληθῆ μάθησιν ὁ βουλόμενος, ἀκουέτω μὲν Παρμενίδου τοῦ Ἐλεάτου ὑπισχνουμένου,

Εἴσῃ δ' αἰθερίαν τε φύσιν τά τ' ἐν αἰθέρι πάντα

Σήματα, καὶ καθαρᾶς εὐαγέος ἠελίοιο
Λαμπάδος ἔργ᾽ ἀΐδηλα, καὶ ὁππόθεν ἐξεγένοντο.
Ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης
Καὶ φύσιν, εἰδήσεις δὲ καὶ οὐρανὸν ἀμφὶς ἔχοντα.
Ἔνθεν μὲν γὰρ ἔφυγε καὶ ὥς μιν ἄγουσ᾽ ἐπέδησεν,
ἀνάγκη πείρατ᾽ ἔχειν ἄστρων. *

## Ex eodem.

Ἀλλὰ καὶ Παρμενίδης ἐν τῷ αὐτοῦ ποιήματι περὶ τῆς ἐλπίδος αἰνισσόμενος τὰ τοιαῦτα λέγει,

Λεῦσσε δ᾽ ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως.
Οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι,
Οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κόσμον,
Οὔτε συνιστάμενον.

## Ex eodem Clemente, & Plutarcho.

Παρμενίδης δὲ ὁ μέγας (ὥς φησιν ἐν Σοφιστῇ Πλάτων) ὧδέ πως περὶ τοῦ θεοῦ γράφει,

Πολλὰ μάλ᾽ ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν,
Οὖλον, μουνογενές τε καὶ ἀτρεμὲς, ἠδ᾽ ἀγένητον.

## Ex Platone.

Εἰ τοίνυν ὅλον ἐστὶν, ὥσπερ καὶ Παρμενίδης λέγει,

Πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκῳ,
Μεσσόθεν ἰσοπαλὲς πάντῃ. τὸ γὰρ οὔτε τι μεῖζον
Οὔτε βεβαιότερον πέλειν χρεών ἐστι τῇ ἢ τῇ.
Τοιοῦτόν γε ὂν τὸ ὂν, μέσον τε καὶ ἔσχατα ἔχει.

## Ex eodem.

Παρμενίδης δὲ τὴν γένεσιν λέγει,

Πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων.



## Ex Plutarcho.

Ἀλλ᾽ ὥσπερ ἡ σελήνη προσέχειν ἐθέλει τῷ κρείττονι, καὶ δευτερεύειν;

Αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο,

κατὰ τὸν Παρμενίδην· οὕτω τὴν δευτέραν τάξιν ἀγαπᾶν, χρωμένους τῷ ἡγεμόνι, καὶ τῆς ἀπ᾽ ἐκείνου δυνάμεως καὶ τιμῆς ἀπολαύοντας.

## Ex eodem.

Οὐδὲ γὰρ ὁ πῦρ μὴ λέγων εἶναι τὸν πεπυρωμένον σίδηρον, ἢ τὴν σελήνην ἥλιον, ἀλλὰ κατὰ Παρμενίδην,

Νυκτὶ φάος περὶ γαῖαν ἀλώμενον, ἀλλότριον φῶς·

ἀναιρεῖ σιδήρου χρῆσιν, ἢ σελήνης φύσιν.

## Ex Proclo in Plat.

Ὁ μὲν οὖν Πλάτων διαρρήδην τούς τε λόγους καὶ τὰς γνώσεις τοῖς γνωστοῖς διεῖλεν. ὁ δέ γε Παρμενίδης, καίτοι διὰ ποίησιν ἀσαφὴς ὢν, ὅμως καὶ αὐτὸς ταῦτα ἐνδεικνύμενος φησὶν,

Ἠμὲν ἀληθείης εὐφεγγέος ἀτρεμὲς ἦτορ,
Ἠδὲ βροτῶν δόξας, αἷς οὐκ ἔνι πίστις ἀληθής.

Καὶ πάλιν,

Εἰ δ᾽ ἄγε τῶν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας,
Αἵπερ ὁδοὶ μοῦναι διζήσιος εἰσὶ νοῆσαι.
Ἡ μὲν, ὅπως ἐστί τε καὶ οὐκ ἔστι μὴ εἶναι,
Πειθοῦς ἐστὶ κέλευθος· ἀληθείῃ γὰρ ὀπηδεῖ·
Ἡ δ᾽ ὡς οὐκ ἔστι γε, καὶ ὡς χρεών ἐστι μὴ εἶναι,
Τὴν δή τοι φράζω παναπειθέα ἔμμεν ἀταρπόν.

Καὶ,

Οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ὂν· οὐ γὰρ ἐφικτόν·

Οὔτε φράσαις.

Λέγει δ' οὖν καὶ ὁ φιλόσοφος, ἐπὶ διττοῖς πράγμασιν, οὖσι καὶ μὴ οὖσι, διττὰς εἶναι τὰς γνώσεις· ἀλήθειαν, ἣν καὶ ἀφεγγῆ κέκληκεν, ὡς τῷ φωτὶ τῷ νοερῷ λάμπουσαν· καὶ πίστιν, ἣν τῆς μονίμου γνώσεως ἀφεῖλεν.

*Animaduertendum est duos primos versus qui hic afferuntur à Proclo, haberi in loco qui primus allatus est ex Sexto: sed* ἀτρεκέος *ibi legi, non* ἀφεγγέος.

## Ex Theophrasto.

Παρμενίδης μὲν γὰρ ὅλως οὐδὲν ἀφώρικεν, ἀλλὰ μόνον ὅτι δυοῖν ὄντοιν στοιχείοιν, κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρῃ τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἄλλην γίνεσθαι τὴν διάνοιαν· βελτίω δὲ καὶ καθαρωτέραν, τὴν διὰ τὸ θερμόν. οὐ μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρίας.

Ὡς γὰρ ἑκάστῳ (φησὶν) ἔχει κρᾶσις μελέων πολυπλάγκτων,
Τὼς νόος ἀνθρώποισι παρέστηκεν. τὸ γὰρ αὐτὸ
Ἐστὶν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισι,
Καὶ πᾶσιν καὶ παντί. τὸ γὰρ πλέον ἐστὶ νόημα.

Τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, ὡς ταυτὸ λέγει. διὸ καὶ τὴν μνήμην καὶ τὴν λήθην ἀπὸ τούτων γίνεσθαι διὰ τῆς κράσεως. ἂν δ' ἰσάζωσι τῇ μίξει, πότερον ἔσται φρονεῖν, ἢ οὐ, καὶ τίς ἡ διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῷ ἐναντίῳ καθ' αὑτὸ ποιεῖ τὴν αἴσθησιν, φανερὸν ἐν οἷς φησι, τὸ νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰσθάνεσθαι, διὰ τὴν ἔκλειψιν τοῦ πυρός· ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι. καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. οὕτως μὲν οὖν αὐτὸς ἔοικεν ἀποτέμνεσθαι τῇ φάσει τὰ συμβαίνοντα δυσχερῆ διὰ τὴν ὑπόληψιν.

# ΚΛΕΑΝΘΟΥΣ

## ἜΠΗ.

# CLEANTHIS

## CARMINA.

### Ex Stobæo ἐν ἐκλογῇ φυσικῶν γνωμῶν.

Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεί,
Ζεῦ, φύσεως ἀρχηγὲ, νόμου μέτα πάντα κυβερνῶν,
Χαῖρε. σὲ γὰρ πᾶσι θέμις θνητοῖσι προσαυδᾶν.
Ἐκ σοῦ γὰρ γένος ἐσμὲν, ἤχου μίμημα λαχόντες
Μοῦνον, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν.
Τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω.
Σοὶ δὲ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν
Πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται:
Τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ὑπὸ χερσὶν
Ἀμφήκη, πυρόεντα, ἀειζώοντα κεραυνόν.
Τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἐρρίγασι,
Ὧι σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων
Φοιτᾷ μιγνύμενος μεγάλων μικροῖσι φάεσσι,
Ὃς τόσσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντὸς.
Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα δαίμων,
Οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐπὶ πόντῳ,

Πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις.
Καὶ κοσμεῖς τὰ ἄκοσμα, καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.
Ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
Ὥσθ᾽ ἕνα γίνεσθαι πάντων λόγον αἰὲν ἐόντων,
Ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσιν.
Δύσμοροι, οἵτ᾽ ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες,
Οὔτ᾽ ἐσορῶσι θεοῦ κοινὸν νόμον, οὔτε κλύουσιν·
Ὧι κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
Αὐτοὶ δ᾽ αὖ ὁρμῶσιν ἄνευ καλοῦ ἄλλος ἐπ᾽ ἄλλα·
Οἱ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,
Οἱ δ᾽ ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
Ἄλλοι δ᾽ εἰς ἄνεσιν, καὶ σώματος ἡδέα ἔργα,
* * * ἐπ᾽ ἄλλοτε δ᾽ ἄλλα φέροντες,
Σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
Ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφὲς, ἀρχικέραυνε,
Ἀνθρώπους ῥύου ἀπειροσύνης ἀπὸ λυγρῆς,
Ἣν σὺ πάτερ σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
Γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς·
Ὄφρ᾽ ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
Ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκὲς, ὡς ἐπέοικε
Θνητὸν ἐόντα. ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλοτι μεῖζον,
Οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.



## Ex Clemente Alex.

Καὶ ἡ Κλεάνθους δὲ τοῦ Στωϊκοῦ φιλοσόφου ποιητικὴ ὧδέ πως τὰ ὅμοια γράφει,

Μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι.
Μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα δόξαν.
Οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν, οὔτε δικαίαν.
Οὔτε καλήν· ὀλίγοις δὲ παρ᾽ ἀνδράσι τοῦτό κεν εὕροις.

## Ex Plutarcho.

Πόρναις τε δοῦναι, σώματ᾽ εἰς νόσους πεσὸν
Δαπάναις ἐπιτρῖψαι.

## Ex Clemente Alex.

Κλεάνθης δὲ ὁ Πισαδεὺς, ὁ ἀπὸ τῆς στοᾶς φιλόσοφος, ὃς οὐ θεογονίαν ποιητικὴν, θεολογίαν δὲ ἀληθινὴν ἐνδείκνυται, οὐκ ἀπεκρύψατο τοῦ θεοῦ πέρι ὅ, τι περ εἶχεν φρονεῖν.

Τἀγαθὸν ἐρωτᾷς μ᾽ οἷόν ἐστ᾽, ἄκουε δή.
Τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές,
Κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλὸν, δέον·
Αὐστηρὸν, αὐθέκαστον, αἰεὶ συμφέρον·
Ἄφοβον, ἄλυπον, λυσιτελὲς, ἀνώδυνον,
Ὠφέλιμον, εὐάρεστον, ἀσφαλὲς, φίλον,
Ἔντιμον, ὁμολογούμενον, εὐκλεὲς, ἄτυφον,
Ἐπιμελὲς, πρᾶον, σφοδρὸν, χρονιζόμενον,
Ἄμεμπτον, αἰεὶ διαμένον.
Ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει

Ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινος.

Ἐνταῦθα δὴ σαφῶς (οἶμαι) διδάσκει ὁποῖός ἐστιν ὁ θεός, καὶ ὡς ἡ δόξα ἡ κοινὴ καὶ ἡ συνήθεια τοὺς ἑπομένους αὐταῖν, ἀλλὰ μὴ τὸν θεὸν ἐπιζητοῦντας, ἐξανδραποδίζεσθαι.

## Ex Galeno.

Τὴν μὲν τοῦ Κλεάνθους γνώμην ὑπὲρ τοῦ παθητικοῦ τῆς ψυχῆς ἐκ τῶνδε φαίνεσθαι φησὶ τῶν ἐπῶν [ὁ Ποσειδώνιος]

Τί ποτ' ἔσθ' ὅ, τι βούλει θυμέ; τοῦτό μοι φράσον.
Ἔχω λογισμὸν πᾶν ὃ βούλομαι ποιεῖν.
Βασιλικόν γε. πλὴν ὅμως εἰπὸν πάλιν.
Ὡς ἂν ἐπιθυμῶ ταῦθ' ὅπως γενήσεται.

Ταυτὶ τὰ ἀμοιβαῖα, Κλεάνθους φησὶν εἶναι Ποσειδώνιος· ἐναργῶς ἐνδεικνύμενος τὴν περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς γνώμην αὐτοῦ· εἴγε δὴ πεποίηκε τὸν λογισμὸν τῷ θυμῷ διαλεγόμενον, ὡς ἕτερον ἑτέρῳ.

# ΕΠΙΧΑΡΜΟΥ ΕΠΗ.

# EPICHARMI CARMINA.

## Ex Alcimo, apud Diogenem Laertium in Platonis vita.

Φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν Ἐπιχάρμου λέγων. σκεπτέον δὲ (ὁ Πλάτων φησὶν) αἰσθητὸν μὲν εἶναι τὸ μηδέποτε ἐν τῷ ποιῷ μηδὲ ποσῷ διαμένον, ἀλλ' ἀεὶ ῥέον καὶ μεταβάλλον· ὡς ἐξ ὧν ἄν τις ἀφέλῃ τὸν ἀριθμὸν, τούτων οὔτε ἴσων, οὔτε τινῶν, οὔτε ποσῶν, οὔτε ποιῶν ὄντων. ταῦτα δ' ἐστὶν ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε πέφυκε. νοητὸν δὲ, ἐξ οὗ μηδὲν ἀπογίνεται, μηδὲ προσγίνεται. τοῦτο δ' ἐστὶν ἡ τῶν ἀιδίων φύσις· ἣν ὁμοίαν τε καὶ τὴν αὐτὴν ἀεὶ συμβέβηκεν εἶναι. καὶ μὴν ὅ γε Ἐπίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν,

Ἀλλ' ἀεὶ τοὶ θεοὶ παρῆσαν, ὑπέλιπον δ' οὐ πώποκα·
Τάδε δ' ἀεὶ πάρεσθ' ὅμοια, διά τε τῶν αὐτῶν ἀεί.
Ἀλλὰ λέγεται μὰν χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
Πῶς δέ; κ' ἀμάχανόν γ' ἀπό τινος μηδὲν ὅ, τι πρᾶτον μόλοι.
Οὐκ ἄρ' ἔμολε πρᾶτον οὐδὲν, οὐδὲ μὰ Δία δεύτερον.
Τῶνδέ γ' ὧν ἄμμες νῦν ὧδε λέγω, μέλλει τάδ' εἶναι.



Ποτ' ἀριθμόν τις περισσὸν, αἰ δὲ λῆς, τὸν ἄρτιον,
Ποτθέμεν λῆς ψᾶφον, ἢ καὶ τὰν ὑπάρχουσαν λαβεῖν·
Ἦ δοκεῖ κά τι κ' ὁ αὐτὸς εἶμεν; οὐκ ἐμὶν τάχα.
Οὐδὲ μὰν οὐδ' αἰ ποτὶ μέτρον παχυαῖον καταθέμεν
Λῆ τις ἕτερον μᾶκος, ἢ τοῦ πρόσθ' ἐόντος ἀποταμεῖν,
Ἔτι χ' ὑπάρχοι τῆνο τὸ μέτρον. οὐ γὰρ ὧδε; νῦν ὅρη
Καὶ τοὺς ἀνθρώπους. ὁ μὲν γὰρ αὔξεθ', ὁ δέ γα μὰν φθίνει.
Ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον.
Ὃ δὲ μεταλλάσσει κατὰ φύσιν, κοὐ ποκ' ἐν ταὐτῷ μένει,
Ἄλλο δὴ ἕτερον εἴη κ' αὐτὸ τοῦ παρεξεστακότος.
Καὶ τὺ δὴ κἀγὼ χθὲς ἄλλοι καὶ νῦν ἄλλοι τελέθομες,
Καὖθις ἄλλοι, κ' οὔποκ' αὐτοὶ κατ' τὸν λόγον.

## Ex eodem Alcimo, apud eundem Diogenem.

Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην. διὸ καὶ τῶν ὄντων τὰ μὲν, αἰσθητὰ εἶναι, τὰ δὲ, νοητά. ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας, πρῶτον μὲν αὐτὰς καθ' αὑτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα καὶ μονάδα, καὶ πλῆθος καὶ μέγεθος, καὶ στάσιν καὶ κίνησιν. δεύτερον, αὐτὸ καθ' αὑτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δί-

καιον, καὶ τὰ τοιαῦτα ὑποθέσθαι. τρίτον, τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσίν. οἷον ἐπιστήμην, ἢ μέγεθος, ἢ δεσποτείαν· ἐνθυμουμένοις ὅτι τὰ παρ' ἡμῖν, διὰ τὸ μετέχειν ἐκείνων, ὁμώνυμα ἐκείνοις ὑπάρχει. λέγω δὲ, οἷον δίκαια μὲν, ὅσα τοῦ δικαίου· καλὰ δὲ, ὅσα τοῦ καλοῦ. ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀΐδιόν τε καὶ νόημα, καὶ πρὸς τούτοις ἀπαθές. διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι, καθάπερ παραδείγματα· τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει,

Ἆρ' ἐστὶν αὔλησις τὶ πρᾶγμα; πάνυ μὲν οὖν.
Ἄνθρωπος οὖν αὔλησις ἐστίν; οὐδαμῶς.
Φέρ' ἴδω. τί δ' αὐλητάς; τίς εἶμεν τοὶ δοκεῖ;
Ἄνθρωπος; ἢ οὐ γάρ; πάνυ μὲν οὖν. οὐκοῦν δοκεῖς
Οὕτως ἔχειν καὶ περὶ τὠγαθῷ; τὸ μὲν
Ἀγαθὸν τόδε, πρᾶγμ' εἶμεν καθ' αὑτό· ὅστις δέ κα
Εἰδῇ μαθὼν τῆν', ἀγαθὸς ἤδη γίνεται.
Ὥσπερ γὰρ εἰ αὔλησιν αὐλητὰς μαθὼν,
Ὄρχησιν ὀρχηστάς τις, ἢ πλοκεὺς πλοκὰν,
Ἢ πᾶν γ' ὁμοίως τῶν τοιούτων ὅ, τι τὺ λῇς,
Οὐκ αὐτὸς εἴη χ' ἁ τέχνα, τεχνικὸς γα μάν.

## Ex eodem Alcimo, apud eundem Diogenem.

Πλάτων ἐν τῇ περὶ τῶν ἰδεῶν ὑπολήψει φησὶν, εἴπερ ἐστὶ μνήμη, τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν, διὰ τὸ τὴν μνήμην ἠρεμοῦντός τινος καὶ μένοντος εἶναι· μένειν δὲ οὐδὲν ἕτερον ἢ τὰς ἰδέας. τίνα γὰρ ἂν τρόπον (φησὶ) διεσώζετο τὰ ζῶα, μὴ τῆς ἰδέας ἐφαπτόμενα, καὶ πρὸς τοῦτο τὸν νοῦν φυσικῶς εἰληφότα;



νῦν δὲ μνημονεύει τῆς ὁμοιότητός τε καὶ τροφῆς, ὁποία τις ἐστὶν αὐτοῖς, ἐνδεικνύμενα διότι πᾶσι τοῖς ζώοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία. διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται. πῶς οὖν ὁ Ἐπίχαρμος;

Εὔμαιε τὸ σοφόν ἐστιν οὐ καθ' ἓν μόνον,
Ἀλλ' ὅσσα περ ζῇ πάντα καὶ γνώμαν ἔχει.
Καὶ γὰρ τὸ θῆλυ τῶν ἀλεκτορίδων γένος
Αἰ λῇς καταμαθεῖν ἀτενὲς, οὐ τίκτει τέκνα
Ζῶντ', ἀλλ' ἐπῴζει, καὶ ποιεῖ ψυχὰν ἔχειν.
Τὸ δὲ σοφὸν ἁ φύσις τόδ' οἶδεν ὡς ἔχει
Μόνα. πεπαίδευται γὰρ αὐταύτας ὕπο.

Καὶ πάλιν,

Θαυμαστὸν οὐδὲν ἐστί με ταῦθ' οὕτω λέγειν.
Καὶ ἁνδάνειν αὐτοῖσιν αὐτοὺς, καὶ δοκεῖν
Καλοὺς πεφυκέναι. καὶ γὰρ ἁ κύων κυνὶ
Κάλλιστον εἶμεν φαίνεται καὶ βοῦς βοΐ,
Ὄνος δ' ὄνῳ κάλλιστον,* ὗς δ' ὑΐ.

## Ex Diogene Laertio.

Ὅτι δ' οὐδ' αὐτὸς Ἐπίχαρμος ἠγνόει τὴν αὑτοῦ σοφίαν, μαθεῖν ἐστι κἀκ τούτων, ἐν οἷς τὸν ζηλώσοντα προμαντεύεται,

Ὡς δ' ἐγὼ δοκέω. δοκέω γὰρ σαφὲς ἄμμι τοῦθ' ὅτι
Τῶν ἐμῶν μνάμα ποκ' ἐσσεῖται λόγων τούτων ἔτι·
Καὶ λαβών τις αὐτὰ, περιδύσας τὸ μέτρον ὃ νῦν ἔχει,
Εἷμα δοὺς καὶ πορφυροῦν, λόγοισι ποικίλας καλοῖς,

Δυσπάλαιστος ὢν τοῖς ἄλλοις εὐπαλαίστοις ἀποφανεῖ.

*Alios Epicharmi versus qui ad philosophicam poesin nõ pertinent, consultò prætermisimus.*

# ΤΙΜΩΝΟΣ ΤΟΥ ΦΛΙΑΣΙΟΥ ἘΠΗ.

# TIMONIS PHLIASII CARMINA.

## Ex Sexto philoſopho.

Φῆ δέ τις αἰάζων, οἷα βροτοὶ αἰάζουσιν,
Οἴμοι ἐγὼ τί πάθω, τί νύ μοι σοφὸν ἔνθα γένηται;
Πτωχὸς μὲν φρένας εἰμὶ, νόου δέ μοι οὐκ ἔνι κόκκος.
Ἤ με μάτην φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.
Τρὶς μάκαρες μέν τοι καὶ τετράκις, οἱ μὴ ἔχοντες
Μήτε κατατρώξαντες ἐνὶ σχολῇ ὅσσ' ἐπέπαντο.
Νῦν δέ με λευγαλέαις ἔρισιν εἵμαρτο δαμῆναι,
Καὶ πενίῃ, καὶ ὅσ' ἄλλα βροτοὺς κηφῆνας ἐλαστρεῖ.

## Ex Clemente Alex. & Euſebio.

Φοιτᾷ δὲ βροτολοιγὸς ἔρις κενεὸν λελακυῖα,
Νείκης ἀνδροφόνοιο κασιγνήτη καὶ ἔριθος,
Ἥ τ' ἀλαὴ περὶ πάντα κυλίνδεται· αὐτὰρ ἔπειτα
Ἐς βρέθος ἐστήριξε κάρη, καὶ ἐς ἐλπίδα βάλλει.

Ἔπειτα ὀλίγον ὑποβὰς ἐπιφέρει,

Τίς γὰρ τούσδ' ὀλοῇ ἔριδι ξυνέηκε μάχεσθαι;
Ἠχοῦς σύνδρομος ὄχλος. ὁ γὰρ σιγῶσι χολωθεὶς



Νοῦσον ἐπ' ἀνέρας ὦρσε λάλην, ὀλέκοντο δὲ πολλοί.

## Ex Theodorito.

Σχέτλιοι ἄνθρωποι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
Ποίων ἐκ τ' ἐρίδων καὶ λεσχομάχων πεπλάνησθε,
Ἄνθρωποι κενεῆς οἰήσιος ἔμπλεοι ἀσκοί.

## Ex Sexto philoſohpo.

Πολλῶν λακεδόνων λυμάντορες ἐπιδολωταί.

## Ex Athenæo.

Τὸ μουσεῖον ὁ Φλιάσιος Τίμων ὁ σιλλογράφος τάλαρόν που φησὶν, ἐπισκώπτων τοὺς ἐν αὐτῷ τρεφομένους φιλοσόφους, ὅτι ὥσπερ ἐν πανάγρῳ τινὶ σιτεύονται, καθάπερ οἱ πολυτιμότατοι ὄρνιθες.

Πολλοὶ μὲν βόσκονται ἐν Αἰγύπτῳ πολυφύλῳ
Βιβλιακοὶ χαρακῖται ἀπείριτα δηριόωντες
Μουσέων ἐν ταλάρῳ.

## Ex Diogene Laertio, primus verſus libri primi τῶν σίλλων Timonis.

Ἔσπετε νῦν μοι ὅσοι πολυπράγμονές ἐστε σοφισταί.

## Ex Sexto philoſopho.

Ὁ γὰρ περὶ ἑνὸς δογματίζων, ἢ προκρίνων φαντασίαν φαντασίας ὅλως κατὰ πίστιν ἢ ἀπιστίαν περί τινος τῶν ἀδήλων, τοῦ δογματικοῦ γίνεται χαρακτῆρος. ὡς δηλοῖ καὶ ὁ Τίμων διὰ τῶν περὶ Ξενοφάνους αὐτῷ λεγομένων. ἐν πολλοῖς γὰρ αὐτὸν ἐπαινέσας τὸν Ξενοφάνην, ὡς καὶ τοὺς σίλλους αὐτῷ ἀναθεῖναι, ἐποίησεν αὐτὸν ὀδυρόμενον καὶ λέγοντα,

Ὡς καὶ ἐγὼν ὄφελον πυκινοῦ νόου ἀντιβολῆσαι

Ἀμφοτερόβλεπτος· δολίῃ δ' ὁδῷ ἐξαπατήθην,
Πρεσβυγενὴς ἔτ' ἐὼν, καὶ ἀπενθήριστος ἁπάσης
Σκεπτοσύνης. ὅπῃ γὰρ ἐμὸν νόον εἰρύσαιμι,
Εἰς ἓν ταὐτό τε πᾶν ἀνελύετο, πᾶν δ' ἐὸν αἰεὶ
Πάντῃ ἀνελκόμενον, μίαν εἰς φύσιν ἵσταθ' ὁμοίαν.

Διὰ τοῦτο γοῦν καὶ ὑπάτυφον αὐτὸν λέγει, καὶ οὐ τέλειον ἄτυφον, δι' ὧν φησί,

Ξεινοφάνης ὑπάτυφος, ὁμηραπάτης ἐπισκώπτης,
Ἐατὸν ἀπ' ἀνθρώπων θεὸν ἐπλάσατ' ἶσον ἁπάντῃ,
Ἀσκηθῆ, νοερώτερον ἠὲ νόημα.

Ὑπάτυφον γὰρ εἶπε, τὸν κατά τι ἄτυφον· ὁμηραπάτην δὲ ἐπισκώπτην, ἐπεὶ τὴν παρ' Ὁμήρῳ ἀπάτην διέσυρεν. ἐδογμάτιζε δὲ ὁ Ξενοφάνης παρὰ τὰς τῶν ἄλλων ἀνθρώπων προλήψεις, ἓν εἶναι τὸ πᾶν, καὶ τὸν θεὸν συμφυῆ τοῖς πᾶσιν. εἶναι δὲ σφαιροειδῆ καὶ ἀπαθῆ καὶ ἀμετάβλητον καὶ λογικόν.

## Ex eodem.

Καίτοι δόξειεν ἄν τισιν ἐπὶ τῆς ἐναντίας εἶναι προλήψεως ὁ προφήτης τῶν Πύρρωνος λόγων Τίμων, ἐν οἷς φησί,

Γραμματικῆ, τῆς οὔτις ἀνασκοπὴ οὐδ' ἀνάθρησις
Ἀνδρὶ διδασκομένῳ Φοινικικὰ σήματα Κάδμου.

Οὐ μὴν οὕτως ἔχειν φαίνεται. τὸ γὰρ ὑπ' αὐτοῦ λεγόμενον οὐκ ἔστι τοιοῦτον κατ' αὐτῆς τῆς γραμματικῆς καθ' ἣν διδάσκεται τὰ Φοινικικὰ σήματα Κάδμου· τὸ, οὐδεμία ἐστὶν ἀνασκοπὴ οὐδ' ἀνάθρησις. πῶς γὰρ, εἰ διδάσκεταί τις αὐτὴν, οὐδεμίαν ἔχοιεν ἐπιστροφὴν αὐτῆς; ἀλλὰ μᾶλλον τοιοῦτό φησι, διδαχθέντι τὰ Φοινικικὰ σήματα Κάδμου, οὐδεμιᾶς ἄλλης παρὰ τοῦτο δεῖ γραμματικῆς ἐπιστροφῆ.



## Ex eodem.

Ὁ δὲ Πρωταγόρας ῥητῶς που γράψας, Περὶ θεῶν οὔτε εἰ εἰσὶν, οὔθ' ὁποῖοί τινες εἰσὶ, δύναμαι λέγειν. πολλὰ γάρ ἐστι τὰ κωλύοντά με. παρ' ἣν αἰτίαν θάνατον αὐτοῦ καταψηφισαμένων τῶν Ἀθηναίων, διαφυγὼν, καὶ κατὰ θάλατταν πλαίσας ἀπέθανε. μέμνηται δὲ ταύτης τῆς ἱστορίας καὶ Τίμων ὁ Φλιάσιος ἐν τῷ δευτέρῳ τῶν σίλλων, ταῦτα διεξερχόμενος,

—ὥστε καὶ μετέπειτα σοφιστῶν
Οὔτ' ἀλιγυγλώσσῳ οὔτ' ἀσκόπῳ οὔτ' ἀκυλίστῳ
Πρωταγόρῃ, ἔθελον δὲ τέφρην σὺν γράμμασι θεῖναι,
Ὅττι θεοὺς κατέγραψ' οὔτ' εἰδέναι οὔτε δύνασθαι
Ὁποῖοί τινες εἰσὶ καὶ οἵτινες ἀθρήσασθαι.
Πᾶσαν ἔχων φυλακὴν ἐπιεικείης. τὰ μὲν οὔ οἱ
Χραίσμησ'· ἀλλὰ φυγῆς ἐπεμαίετο, ὄφρα μὴ οὕτως
Σωκρατικὸν πίνων ψυχρὸν ποτὸν ἄϊδι δύῃ.

## Ex Plutarcho.

Τῷ γὰρ ὄντι πλησίστιος μὲν ἐπὶ τὰς ἡδονὰς ὁ ἀκόλαστος ὑπὸ τῶν ἐπιθυμιῶν φέρεται, καὶ δίδωσιν ἑαυτὸν καὶ συγκατευθύνει· πλάγιος δὲ ὁ ἀκρατὴς, ὅταν ἐξαναφέρειν γλιχόμενος καὶ διωθεῖσθαι τὸ πάθος, ὑποσύρῃ καὶ περιπίπτει περὶ τὸ αἰσχρόν. ὡς Ἀνάξαρχον ἐσίλλαινε Τίμων,

Ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενὲς, ὅππη ὀρούσαι
Φαίνετ' Ἀναξάρχου κύνεον μένος. ὅ ῥα καὶ εἰδὼς,
Ὡς φάσαν, ἄθλιος ἔσκε· φύσις δέ μιν ἔμπαλιν ἦγεν
Ἡδονοπλὴξ, ἣν πλεῖστοι ὑποτρείουσι σοφιστῶν.

## Ex Athenæo.

Κτησίβιος δ' ὁ Χαλκιδεὺς ὁ Μενεδήμου γνώριμος

(ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς βίοις) ἐρωτηθεὶς ὑπό τινος τί περιγέγονεν ἐκ φιλοσοφίας αὐτῷ, ἔφη, ἀσυμβόλως δειπνεῖν. διὸ καὶ ὁ Τίμων που πρὸς αὐτὸν ἔφη,

Δειπνομανές, νεκροῦ ὄμματ' ἔχων, κραδίην δ' ἀκύλιστον.

## Ex eodem.

Στωϊκὸν δὲ δόγμα ἐστὶν ὅτι πάντα εὖ ποιήσει ὁ σοφός, καὶ φακῆν φρονίμως ἀρτύσει. διὸ καὶ Τίμων ὁ Φλιάσιος ἔφη,

Καὶ Ζηνώνειόν γε φακὴν ἕψειν ὃς μὴ φρονίμως μεμάθηκεν.

## Ex eodem.

Οὗτος γὰρ [ὁ Τίμων] ἐστὶν ὃς καὶ τοῦ κόγχου μνημονεύει ἐν τῷ δευτέρῳ τῶν σίλλων λέγων οὕτως,

Οὔτε μοι ἐκταίη μᾶζ' ἀνδάνει, οὔτε καρύκη
Ἡ Λυδῶν, λιτὴ δὲ καὶ αὐστελέη ἐνὶ κόγχῳ
Ἑλλήνων ἡ πᾶσα περιοστεύφητος ὀϊζύς.

## Ex Diogene Laertio.

Οἶδε δ' αὐτὸν [Θάλητα] ἀστρονομούμενον καὶ Τίμων, καὶ ἐν τοῖς σίλλοις ἐπαινεῖ αὐτόν, λέγων,

Οἷον ἔπειτα Θάλητα, σοφῶν σοφὸν ἀστρονόμημα.

## Ex eodem Diog. in Anaxagora.

Πρῶτος [ὁ Ἀναξαγόρας] τῇ ὕλῃ νοῦν ἐπέστησεν, ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον, Πάντα χρήματα ἦν ὁμοῦ, εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε. Παρὸ καὶ Νοῦς ἐπεκλήθη. καί φησι περὶ αὐτοῦ Τίμων ἐν τοῖς σίλλοις οὕτω,

Καί που Ἀναξαγόρην φάσ' ἔμμεναι ἄλκιμον ἥρω,





Νοῦν, ὅτι δὴ νόος αὐτῷ, ὃς ἐξαπίνης ἐπεγείρας,
Πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

## Ex eodem Diog. in Socrate.

Δοῦρις δὲ καὶ δουλεῦσαι αὐτὸν [Σωκράτη φησὶ] καὶ ἐργάσασθαι λίθους. εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει Χάριτας ἔνιοι φασίν, ἐνδεδυμένας οὔσας· ὅθεν καὶ Τίμωνα ἐν τοῖς σίλλοις εἰπεῖν,

Ἐκ δ' ἄρα τῶν ἀπέκλινε λιθοξόος ἐννομολέσχης
Ἑλλήνων ἐπαοιδός, ἀκριβολόγους ἀποφήνας,
Μυκτὴρ ῥητορόμυκτος, ὑπαττικὸς εἰρωνευτής.

## Ex eodem Diog. in Aristippo.

Ἀπέλαυε μὲν γὰρ ἡδονῆς τῶν παρόντων [Ἀρίστιππος] οὐκ ἐθήρα δὲ πόνῳ τὴν ἀπόλαυσιν τῶν οὐ παρόντων. ὅθεν καὶ Διογένης βασιλικὸν κύνα ἔλεγεν αὐτόν. ὁ δὲ Τίμων παρέφαγεν ὡς θρυπτόμενον, οὑτωσί πως εἰπών,

Οἷα δ' Ἀριστίππου τρυφερὴ φύσις ἀμφαφόωντος Ψεύδη.

## Ex eodem Diog. in Euclide.

Ταῖς τε ἀποδείξεσιν ἐνίστατο [Εὐκλείδης] οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν. καὶ τὸν διὰ παραβολῆς λόγον ἀνῄρει, λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι. καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν τὴν παράθεσιν. διὰ ταῦτα δὲ καὶ περὶ αὐτοῦ ταῦτα φησὶ Τίμων, προσπαρατρώγων καὶ τοὺς λοιποὺς Σωκρατικούς,

Ἀλλ' οὔ μοι τούτων φλεδόνων μέλει· οὐδὲ γὰρ ἄλλου
Οὐδενός, οὐ Φαίδωνος ὅτις γε μὲν, οὐδ' ἐριδάντεω

Εὐκλείδου, Μεγαρεῦσιν ὃς ἔμβαλε λύσσαν ἐρισμοῦ.

## Ex eodem Diog. in Menedemo.

Ὁ δὲ Τίμων οὕτω,

Λῆρον ἀναστήσας ὀφρυωμένος, ἀφροσιβόμβαξ.

## Ex eodem Diog. in Platone.

Ἀλλὰ καὶ ὁ Τίμων εἰς τὸν Πλάτωνα λέγων φησί,

Τῶν πάντων δ' ἡγεῖτο πλατύστατος, ἀλλ' ἀγορητὴς
Ἡδυεπής, τέττιξιν ἰσογράφος, οἵθ' Ἑκαδήμου
Δένδρει ἐφεζόμενοι ὄπα λειριόεσσαν ἰᾶσι.

## Ibidem.

Ἀλλὰ καὶ Τίμων οὑτωσὶ παραγραμματίζων αὐτὸν [τὸν Πλάτωνα] σκώπτει,

Ὡς ἀνέπλασσε Πλάτων, πεπλασμένα θαύματα εἰδώς.

## Ex eodem Diog. & ex Numenio.

Τίμων δὲ (inquit Numenius de Arcesilao) καὶ ἀπὸ Μενεδήμου τὸ ἐριστικὸν φησὶ λαβόντα ἐξαρτυθῆναι· εἴπερ γε δή φησὶ περὶ αὐτοῦ,

Τῇ γὰρ ἔχων Μενεδήμου ὑπὸ στέρνοισι μόλυβδον
Θεύσεται, ἢ Πύρρωνα τὸ πᾶν κρέας, ἢ Διόδωρον.

καὶ διαλιπὼν αὐτὸν ποιεῖ λέγοντα, inquit Diogenes,

Νήξομαι εἰς Πύρρωνα, καὶ εἰς σκολιὸν Διόδωρον.

Ἦν δὲ ἀξιωματικώτατος, καὶ συνηγμένος, καὶ ἐν τῇ λαλιᾷ διαστατικὸς τῶν ὀνομάτων· ἐπισκώπτης δ' ἱκανῶς καὶ παρρησιαστής. διὸ καὶ πάλιν ὁ Τίμων οὑτωσὶ περὶ αὐτοῦ,

Καὶ νέον οὐ λήσῃς ἐπιπλήξεσιν ἐγκαταμιγνύς.



## De eodem.

Εἰς δὲ τὸ διαβαλλόμενον αὐτοῦ φιλόχλον καὶ Τίμων τά τε ἄλλα φησίν, ἀτὰρ δὴ τοῦτον τὸν τρόπον,

Ὣς εἰπὼν, ὄχλοιο περίστασιν εἰσκατέδυνεν.
Οἱ δέ μιν ἠΰτε γλαῦκα περισπίζα τερατοῦντο
Ἠλέματον δεικνύντες, ὅθ' οὕνεκεν ὀχλοαρέσκης.
Οὐ μέγα πρῆγμα τάλας, τί πλατύνεαι, ἠλίθιος ὥς;

## Ex eodem Diog. in Clitomacho.

Καθόλου δὲ τοὺς Ἀκαδημαϊκοὺς ὁ Τίμων οὕτω διασύρει,

Οὐδ' Ἀκαδημαϊκῶν πλατυρημοσυνῆς ἀναλύστου.

## Ex eodem Diog. in Aristotele.

Ἀλλὰ καὶ Τίμων αὐτοῦ [τοῦ Ἀριστοτέλους] καθήψατο, εἰπών,

Οὐδ' ἄρ' Ἀριστοτέλους εἰκαιοσυνῆς ἀλεγεινῆς.

## Ex eodem Diog. in Zenone.

Ἦν δὲ [ὁ Ζήνων] καὶ ζητητικὸς καὶ περὶ πάντων ἀκριβολογούμενος. ὅθεν καὶ ὁ Τίμων ἐν τοῖς σίλλοις φησὶν οὕτω,

Καὶ Φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ
Πάντων ἱμείρουσαν, ὁ δ' ἔρρει γύργαθος αὐτῆς
Μικρὸς ἐών, νοῦν δ' εἶχεν ἐλάσσονα σκινδαψοῖο.

## Ibidem.

Ἦσαν δὲ περὶ αὐτὸν [τὸν Ζήνωνα] καὶ γυμνορρύπαροί τινες, ὥς φησι καὶ ὁ Τίμων,

Ὄφρα πενεστάων σύναγε νέφος, οἳ πέρι πάντων
Πτωχότατοί τ' ἦσαν καὶ κουφότατοι βροτοὶ ἀστῶν.

## Ibidem.

Ἦν δέ τις πειστικὸς, καὶ ὄχλῳ πεποιημένος. ὅθεν ὁ Τίμων φησὶ περὶ αὐτοῦ,

Καί τις Ἀρίστωνος γένυης ἄπο αἱμύλον ἕλκων.

## Ex eodem Diog. in Cleanthe.

Ἦν δὴ πονικὸς μὲν [ὁ Κλεάνθης,] ἀφύσικος δὲ, καὶ βραδὺς ὑπερβαλλόντως. διὸ καὶ Τίμων περὶ αὐτοῦ φησὶν οὕτως,

Τίς δ᾽ οὗτος κτίλος ὡς ἐπιπωλεῖται σίχας ἀνδρῶν;
Μωλύτης, ἐπέων φίλος, Ἄσιος, ὅλμος ἄτολμος.

## Ex eodem Diog. in Pythagora.

Τὴν δὲ σεμνοπρέπειαν τοῦ Πυθαγόρου καὶ Τίμων ἐν τοῖς σίλλοις, δάκνων αὐτὸν, ὅμως οὐ παρέλιπεν, εἰπὼν οὕτω,

Πυθαγόρην τε γόητας ἀποκλίναντ᾽ ἐπὶ δόξην,
Θήρη ἐπ᾽ ἀνθρώπων, σεμνηγορίης ὀαριστήν.

## Ex eodem in Empedocle.

Οὐ παρῆκε δὲ οὐδὲ τοῦτον [τὸν Ἐμπεδοκλέα] ὁ Τίμων, ἀλλ᾽ ὧδ᾽ αὐτοῦ καθάπτεται, λέγων,

--καὶ Ἐμπεδοκλῆς ἀγοραίων
Κηλητὴς ἐπέων· ὅσα δ᾽ ἔσθενε, τοσάδε εἷλεν
Ἀρχῶν, ὃς διέθηκ᾽ ἀρχὰς ἐπιδευέας ἄλλων.

## Ex eodem Diog. in Xenophane.

Ξενοφάνης Δεξίου, ἢ (ὡς Ἀπολλόδωρος) Ὀρθομένους, Κολοφώνιος, ἐπαινεῖται πρὸς τοῦ Τίμωνος. φησὶ γοῦν,

Ξεινοφάνη θ᾽ ὑπάτυφον, Ὁμηραπάτην ἐπικόπτην.



## Ex eodem Diog. in Parmenide.

Περὶ αὐτοῦ [τοῦ Παρμενίδου] φησὶν ὁ Τίμων,

Παρμενίδου τε βίην μεγαλόφρονα τὴν πολύδοξον,
Ὅς ῥ᾽ ἐπὶ φαντασίας ἀπάτης ἀνενείκατο νώσεις.

## Ex eodem Diog. in Zenone Eleate.

Περὶ τούτου [τοῦ Ζήνωνος] καὶ Μελίσσου Τίμων φησὶ ταῦτα,

Ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνὸν
Ζήνωνος πάντων ἐπιλήπτορος, ἠδὲ Μελίσσου,
Πολλῶν φαντασμῶν ἐπάνω, παύρων γε μὲν ἥσω.

## Ex eodem Diog. in Democrito.

Πάντων γὰρ σχεδὸν τῶν ἀρχαίων μεμνημένος ὁ Πλάτων, οὐδαμοῦ Δημοκρίτου διαμνημονεύει, ἀλλ᾽ οὐδὲ ἔνθα ἀντειπεῖν τι αὐτῷ δέοι· δῆλον εἰδὼς ὡς πρὸς τὸν ἄριστον οὕτω τῶν φιλοσόφων ἔσοιτο, ὅν γε καὶ Τίμων τοῦτον ἐπαινέσας τὸν τρόπον ἔχει,

Οἷον Δημόκριτόν τε περίφρονα, ποιμένα μύθων,
Ἀμφίνοον λέσχην, ἃ μετὰ πρώτοισιν ἀνέγνων.

## Ex eodem Diog. in Protagora.

Πρῶτος [ὁ Πρωταγόρας] λόγων ἀγῶνας ἐθεάσατο, καὶ σόφισμα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη, καὶ τὸ νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν. ἵνα καὶ Τίμων φησὶ περὶ αὐτοῦ,

Πρωταγόρης τ᾽ ἐπίμικτος, ἐριζέμεναι εὖ εἰδώς.

## Ex eodem Diog. in Pyrrhone.

Ζηλωτὰς εἶχε πολλοὺς [ὁ Πύρρων] τῆς ἀπραγμοσύνης. ὅθεν καὶ ὁ Τίμων περὶ αὐτοῦ φησὶν οὕτως ἐν τῷ Πύθωνι, καὶ ἐν τοῖς σίλλοις,

Ὦ γέρον, ὦ Πύρρων, πῶς ἢ πόθεν ἔκδυσιν εὗρες
Λατρείης, δοξῶν τε κενοφροσύνης τε σοφιστῶν,
Καὶ πάσης ἀπάτης πειθοῦς τ' ἀπελύσαο δεσμά;
Οὐδὲ μέλει σοι ταῦτα μεταλλῆσαι, τίνες αὖραι
Ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὅ,τι κυρεῖ ἕκαστα.

*Alios eiusdem Timonis versus* ἐκ τῶν ἰνδαλμῶν, *de eodem Pyrrhone, vide infra.*

## Paulo pòst de Philone.

Ἐν Ἤλιδι καταπονούμενος [ὁ Πύρρων] ὑπὸ τῶν ζητούντων ἐν τοῖς λόγοις, ἀποῤῥίψας θοἰμάτιον, διενήξατο τὸν Ἀλφειόν. ἦν οὖν πολεμιώτατος τοῖς σοφισταῖς, ὡς καὶ Τίμων φησίν. ὁ δὲ Φίλων τὰ πλεῖστα διελέγετο· ὅθεν καὶ περὶ τούτου φησὶν οὕτως,

Ἢ τὸν ἀπ' ἀνθρώπων ἀπόσχολον, αὐτολαλητὴν,
Οὐκ ἐμπαζόμενον δόξης ἐρίδων τε Φίλωνα.

## Rursum de Pyrrhone.

Ὅτι τὴν εἰκόνα ἐξοχὰς λέγομεν ἔχειν, τὸ φαινόμενον διασαφοῦμεν· ὅταν δὲ εἴπωμεν μὴ ἔχειν αὐτὴν ἐξοχάς, οὐκέτι ὃ φαίνεται, ἕτερον δὲ λέγομεν. ὅθεν καὶ ὁ Τίμων ἐν τῷ Πύθωνι φησὶ μὴ ἐκβεβηκέναι τὴν συνήθειαν. καὶ ἐν τοῖς ἰνδαλμοῖς οὕτω λέγει,

Ἀλλὰ τὸ φαινόμενον παντὶ σθένει οὗπερ ἂν ἔλθῃ.

Καὶ ἐν τοῖς περὶ αἰσθήσεων φησὶ, τὸ μὲν ὅτι ἐστὶ γλυκὺ, οὐ τίθημι· τὸ δὲ ὅτι φαίνεται, ὁμολογῶ.



## Ex eodem Diog. in Epicuro.

Φησὶ δὲ Ἕρμιππος γραμματοδιδάσκαλον αὐτὸν [τὸν Ἐπίκουρον] γεγενῆσθαι· ἔπειτα μέντοι περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις, ἐπὶ φιλοσοφίαν ἀΐξαι. διὸ καὶ τὸν Τίμωνα φάσκειν περὶ αὐτοῦ,

Ὕστατος αὖ φυσικῶν καὶ κύντατος ἐκ Σάμου ἐλθὼν,
Γραμμοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

## Ex Athenæo.

Περὶ δὲ τοῦ Ἐπικούρου Τίμων ἐν τρίτῃ σίλλων φησί,

Γαστρὶ χαριζόμενος, τῆς οὐ λαμυρώτερον οὐδέν.

## Ex Aristocle.

Οὐδὲ γὰρ ἐκεῖνο φαίη τις ἄν, ὅτι τοὺς νόμους δεδοίκασι κελεύοντας καὶ τὰς τιμωρίας οἱ τοιοῦτοι. πῶς γάρ; οἵ γε ἀπαθεῖς καὶ ἀτάραχοι, (καθάπερ αὐτοί φασιν) ὄντες; ὁ γοῦν Τίμων ταῦτα καὶ λέγει περὶ τοῦ Πύρρωνος,

Ἀλλ' οἷον τὸν ἄτυφον ἐγὼ ἴδον ἠδ' ἀδάμαστον
Πᾶσιν ὅσοις δαμνᾶνται ἅμ' ἀῤῥήτοις τε φατοῖς τε,
Λαῶν ἔθνεα κοῦφα, βαρυνόμεν' ἔνθα καὶ ἔνθα
Ἐκ παθέων, δόξης τε καὶ εἰκαίης νομοθήκης.

## Ex eodem.

Εἰ δ' οὐδὲν ὄφελός ἐστι τῶν λόγων, τί ἡμῖν ἐνοχλοῦσιν; ὃ δὴ καὶ Τίμων φησίν,

Οὐκ ἂν δὴ Πύρρωνί γ' ἐρίσσειεν βροτὸς ἄλλος.

## Ex Sexto philosopho.

Τίμωνός τε τοῦ Φλιασίου τὸν Πύρρωνα ἡλίῳ ἀπεικάζοντος, ἐν οἷς φησί,

Μοῦνος δ' ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύεις,
Ὃς περὶ πᾶσαν ἑλῶν γαῖαν ἀναστρέφεται,

Δεικνὺς εὐτόρνου σφαίρας πυρικαύτορα κύκλον

δόξει μὲν τοῖς γραμματικοῖς κατὰ τιμὴν αὐτὸ λέγειν, καὶ διὰ τὴν περὶ τὸν φιλόσοφον ἐπιφάνειαν· ἄλλως δὲ ἐπιστήσας μή ποτε καὶ μάχεται τὰ παραδείγματα τῷ σκεπτικῷ βουλήματι, τὰ ὑπὸ τοῦ Φλιασίου εἰς τὸν Πύρρωνα λεχθέντα· εἴγε ὁ μὲν ἥλιος τὰ πρότερον μὴ βλεπόμενα, τῷ φωτὶ καταυγάζων δείκνυσιν· ὁ δὲ Πύρρων καὶ τὰ προδήλως ἡμῖν ληφθέντα τῶν πραγμάτων, εἰς ἀδηλότητα περιιστᾶν βιάζεται. τὸ δὲ οὐχ οὕτως ἔχειν φαίνεται τῷ φιλοσοφώτερον ἐπιβάλλοντι· ἀλλ' ἡλίου τρόπον ἐπέχειν φησὶ τὸν Πύρρωνα, καθόσον ὁ θεὸς τὰς τῶν ἀκριβῶς εἰς αὐτὴν ἀτενιζόντων ὄψεις ἀμαυροῖ, οὕτω καὶ ὁ σκεπτικὸς λόγος τὸ τῆς διανοίας ὄμμα τῶν ἐπιμελέστερον αὐτῷ προσεχόντων συγχεῖ, ὥστε ἀκαταληπτεῖν περὶ ἑκάστου τῶν κατὰ τὴν δογματικὴν θρασύτητα τιθεμένων.

## Ex Diogene Laertio.

Τοῦτό μοι ὦ Πύρρων ἱμείρεται ἦτορ ἀκοῦσαι
Πῶς ποτ᾽ ἀνὴρ ἔτ᾽ ἄγεις ῥᾶστα μεθ᾽ ἡσυχίας,
Μοῦνος ἐν ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύων.

## Ex Sexto philoſopho.

Οὕτω γὰρ ἕκαστος ἡμῶν τὴν τελείαν καὶ σκεπτικὴν ἀπολαβὼν διάθεσιν, κατὰ τὸν Τίμωνα,

--βιώσαι ῥῆστα μεθ᾽ ἡσυχίης
Αἰεὶ ἀφροντίστως καὶ ἀκινήτως κατὰ ταὐτά,
Μὴ προσέχων δειλοῖς ἡδυλόγου σοφίης.

## Ex eodem.

Περὶ μὲν γὰρ τῆς πρὸς τὴν φύσιν ὑποστάσεως τῶν τε ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων ἱκανοί πως εἰσὶν ἡμῖν ἀγῶνες πρὸς τοὺς δογματικούς. κατὰ δὲ τὸ φαινόμενον τούτων ἕκα-



στον, ἔχομεν ἔθος ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορον προσαγορεύειν· καθάπερ καὶ ὁ Τίμων ἐν τοῖς δήμοις ἔοικε δηλοῦν, ὅταν φῇ,

Ἦ γὰρ ἐγὼν ἐρέω ὥς μοι καταφαίνεται εἶναι
Μῦθον ἀληθείης ὀρθὸν ἔχων κανόνα·
Ὡς ἡ τοῦ θείου τε φύσις καὶ τἀγαθοῦ αἰεὶ
Ἐξ ὧν ἰσότατος γίνεται ἀνδρὶ βίος.

## Ex Gellio.

*Timon amarulentus librum maledicentissimum conscripsit, qui σίλλος inscribitur. In eo libro Platonem philosophum (quem dixeramus tenui admodum pecunia familiari fuisse) contumeliosè appellat, quòd impenso pretio librum Pythagoricæ disciplinæ emisset, éxque eo Timæum nobilem illum dialogum continuasset. Versus super ea re Τίμωνος hi sunt,*

Καὶ σὺ Πλάτων, καὶ γὰρ σὲ μαθητείης πόθος ἔσχε.
Πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξαο βίβλον,
Ὅθεν ἀπαρχόμενος γράφειν ἐδιδάχθης.



# ΚΡΙΤΊΟΥ

## ἸΑΜΒΕΙ͂Α.

# CRITIAE

## IAMBI.

*Hic est Critias qui unus è triginta tyrannis Athenarũ fuit, & qui à Platone inducitur.*

## Ex Sexto philosopho.

Ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος,
Καὶ θηριώδης, ἰσχύος θ' ὑπηρέτης.
Ὅτ' οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν,
Οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίνετο.
Κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους
Θέσθαι κολαστὰς, ἵνα δίκη τύραννος ᾖ,
Τὴν θ' ὕβριν ἔχῃ δούλην,
Ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι.
Ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι
Ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ,
Λάθρᾳ δ' ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ
Πυκνός τις καὶ σοφὸς γνώμην ἀνὴρ
Γνῶναι ἢ ὃς θνητοῖσιν ἐξευρεῖν ὅπως
Εἴη τι δεῖγμα τοῖς κακοῖσι κἂν λάθρᾳ
Πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσιν,
Ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο·

Ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ,
Νόῳ τ' ἀκούων καὶ βλέπων, φρονῶν τε, καὶ
Προσέχων τε ταῦτα καὶ φύσιν θείαν φορῶν.
Ὑφ' οὗ πᾶν μὲν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούεται,
Δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται.
Ἐὰν δὲ σὺν σιγῇ τι βουλεύῃς κακὸν,
Τοῦτ' οὐχὶ λήσει τοὺς θεούς. τὸ γὰρ φρονοῦν
Ἔνεστι. τοὺς δὲ τοὺς λόγους λέγων,
Διδαγμάτων ἥδιστον εἰσηγήσατο,
Ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ.
Αἰεὶ δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ' ἵνα
Μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώποις ἄγων,
Ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς,
Καὶ τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ,
Ἐκ τῆς ὕπερθεν περιφορᾶς, ἵν' ἀστραπὰς
Κατεῖδεν οὔσας, δεινὰ δὲ κτυπήματα
Βροντῆς τό, τ' ἀστερωπὸν οὐρανοῦ δέμας,
Χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ.
Ὅθεν τε λαμπρὸς ἀστέρος στείχει μύδρος,
Ὅ θ' ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται,
Τοιούτους δὲ περιέστησ' ἀνθρώποις φόβους,
Δι' οὓς καλῶς τε τῷ λόγῳ κατῴκισε
Τὸν δαίμονα οὐκ ἐν πρέποντι χωρίῳ,
Τὴν ἀνομίαν τε τοῖς νόμοις κατέσβεσε.

# ὈΡΦΈΩΣ ἘΠΗ.

# ORPHEI CARMINA.

## Ex Aristobulo, Iustino Martyre, Clemente, & aliis.

Ὀρφεὺς γοῦν (inquit Iustinus) ὁ τῆς πολυθεότητος ὑμῶν, ὡς ἂν εἴποι τις, πρῶτος διδάσκαλος γεγονὼς, οἷα πρὸς τὸν υἱὸν αὐτοῦ Μουσαῖον καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου θεοῦ κηρύττει λέγων, ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς. φησὶ δὲ οὕτως,

Φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι,
Φεύγοντες δικέων θεσμοὺς θείοιο τεθέντος
Πᾶσι νόμου. σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε μήνης
Μουσαῖ'. ἐξερέω γὰρ ἀληθέα μηδέ σε τὰ πρὶν
Ἐν στήθεσσι φανέντα, φίλης αἰῶνος ἀμέρσῃ.
Εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
Ἰθύνων κραδίης νοερὸν κύτος. εὖ δ' ἐπίβαινε
Ἀτραπιτοῦ· μοῦνον δ' ἐσόρα κόσμοιο τυπωτήν
Ἀθάνατον· παλαιὸς δὲ λόγος περὶ τοῦδε φαείνει.
Εἷς ἔστ' αὐτοτελὴς, αὐτοῦ δ' ὕπο πάντα τελεῖται·
Ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται. οὐδέ τις αὐτὸν
Εἰσοράᾳ ψυχῶν θνητῶν, νῷ δ' εἰσοράαται.
Αὐτὸς δ' ἐξ ἀγαθῶν θνητοῖς κακὸν οὐκ ἐπιτέλλει
Ἀνθρώποις. αὐτῷ δὲ χάρις καὶ μῖσος ὀπηδεῖ,



Καὶ πόλεμος, καὶ λοιμὸς, ἰδ' ἄλγεα δακρυόεντα·
Οὐδέ τις ἔσθ' ἕτερος. σὺ δέ κεν ῥέα πάντ' ἐσορήσαις,
Αἴκεν ἴδῃς αὐτὸν πρὶν δή ποτε δεῦρ' ἐπὶ γαῖαν.
Τέκνον ἐμὸν δείξω σοι, ὁπηνίκα δέρκομαι αὐτοῦ
Ἴχνια καὶ χεῖρα στιβαρὴν κρατεροῖο θεοῖο.
Αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται
Λοιπὸν ἐμοί, στᾶσιν δὲ δέκα πτυχαὶ ἀνθρώποισιν.
Οὐ γάρ κέν τις ἴδοι θνητῶν μερόπων κραίνοντα,
Εἰ μὴ μουνογενής τις ἀπορρὼξ φύλου ἄνωθεν
Χαλδαίων. ἴδρις γὰρ ἔην ἄστροιο πορείης,
Καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει
Κυκλοτερές γ' ἐν ἴσῳ, κατὰ δὲ σφέτερον κνώδακα·
Πνεύματα δ' ἡνιοχεῖ περί τ' ἠέρα καὶ περὶ χεῦμα
Νάματος· ἐκφαίνει δὲ πυρὸς σέλας ἰφιγενήτου.
Αὐτὸς δὴ μέγαν αὖθις ἐπ' οὐρανὸν ἐστήρικται,
Χρυσέῳ εἰνὶ θρόνῳ· γαίη δ' ὑπὸ ποσσὶ βέβηκε.
Χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρμασιν ὠκεανοῖο
Ἐκτέτακεν· ὀρέων δὲ τρέμει βάσις ἔνδοθι θυμοῦ,
Οὐδὲ φέρειν δύναται κρατερὸν μένος. ἐστὶ δὲ πάντως
Αὐτὸς ἐπουράνιος, καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ,
Ἀρχὴν αὐτὸς ἔχων ἅμα καὶ μέσην ἠδὲ τελευτήν,
Ὡς λόγος ἀρχαίων, ὡς ὑλογενὴς διέταξεν,
Ἐκ θεόθεν γνώμαισι λαβὼν κατὰ δίπλακα θεσμόν.
Ἄλλως οὐ θεμιτὸν δὲ λέγειν. τρομέω δέ γε γυῖα
Ἐν νόῳ. ἐξ ὑπάτου κραίνει περὶ πάντ' ἐνὶ τάξει.
Ὦ τέκνον, σὺ δὲ τοῖσι νόοισι πελάζεο, γλώσσης

Εὖ μάλ' ἐπικρατέων. στέρνοισι δ' ἔνθεο φήμην.

## Ex Iustino Martyre.

Εἷς Ζεύς, εἷς Ἀΐδης, εἷς Ἥλιος, εἷς Διόνυσος,
Εἷς θεὸς ἐν πάντεσσι. τί σοι δίχα ταῦτ' ἀγορεύω;

## Ex eodem.

Οὐρανὸν ὁρκίζω σε, θεοῦ μεγάλου σοφοῦ ἔργον.
Αὐδὴν ὁρκίζω σε πατρὸς, τὴν φθέγξατο πρῶτον
Ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς.

Τί βούλεται τὸ λέγειν αὐτὸν, Αὐδὴν ὁρκίζω σε πατρὸς, ἣν φθέγξατο πρῶτον. Αὐδὴν ἐνταῦθα τὸν τοῦ Θεοῦ ὀνομάζει λόγον, δι' οὗ οὐρανὸς καὶ γῆ καὶ ἡ πᾶσα ἐγένετο κτίσις· ὡς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι τῶν ἁγίων ἀνδρῶν προφητεῖαι, αἷς ἐν μέρει καὶ αὐτὸς ἐν Αἰγύπτῳ προσχών, ἔγνω ὅτι τῷ λόγῳ τοῦ Θεοῦ πᾶσα ἐγένετο ἡ κτίσις. διὸ καὶ μετὰ τὸ φῆσαι, Αὐδὴν ὁρκίζω σε πατρὸς, ἣν φθέγξατο πρῶτον, παρ' αὐτὰ συνάπτει λέγων, Ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς. Ἐνταῦθα τὸν λόγον αὐδὴν διὰ τὸ ποιητικὸν ὀνομάζει μέτρον. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δῆλον ἀπὸ τοῦ μικρῷ πρόσθεν, τοῦ μέτρου συγχωροῦντος αὐτῷ, λόγον αὐτὸν ὀνομάζειν. ἔφη γάρ,

Εἰς δὲ θεῖον λόγον βλέψας, τούτῳ προσέδρευε.

## Ex Proclo.

Ὁ μὲν οὖν Πλάτων τοιοῦτον ὑποστησάμενος δημιουργὸν, ἄρρητον αὐτὸν καὶ ἀκατονόμαστον εἴασεν, ὡς ἐν τἀγαθοῦ μοίρᾳ προτεταγμένον τῶν ὅλων. ἔστι γὰρ ἐν πάσῃ τάξει θεῶν τὸ ἀναλογοῦν τῷ ἑνί. τοιοῦτον γοῦν ἡ ἐν ἑκάστῳ κόσμῳ μονάς. ὁ δέ γε Ὀρφεὺς καὶ ὄνομα αὐτῷ προσήνεγκεν, ἅτε ἐκεῖθεν κινούμενος· ᾧ καὶ αὐτὸς ὁ Πλάτων ἐν ἄλλοις ἠκολούθησεν. ὁ γὰρ παρ' αὐτῷ Ζεὺς, ὁ πρὸ τῶν τριῶν Κρονιδῶν, οὗτός ἐστι τῶν





ὅλων δημιουργός. μετὰ γοῦν τὴν κατάποσιν τοῦ Φάνητος, αἱ ἰδέαι τῶν πάντων ἐν αὐτῷ πεφήνασιν, ὥς φησιν ὁ θεολόγος.

Τοὔνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη
Αἰθέρος εὐρείης ἠδ' οὐρανοῦ ἀγλαὸν ὕψος,
Πόντου τ' ἀτρυγέτου γαίης τ' ἐρικυδέος εὐρή,
Ὠκεανός τε μέγας, καὶ νείατα τάρταρα γαίης,
Καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, ἄλλα τε πάντα,
Πάντες τ' ἀθάνατοι μάκαρες θεοὶ, ἠδὲ θέαιναι,
Ὅσσα τ' ἔην γεγαῶτα, καὶ ὕστερον ὁππόσ' ἔμελλεν
Ἐγένετο· Ζηνὸς δ' ἐνὶ γαστέρι σύρρα πεφύκει.

Τῶν δὲ ἰδεῶν πλήρης ὢν, διὰ τούτων ἐν ἑαυτῷ τὰ ὅλα περιείληφε. ὡς καὶ τοῦτο ἐνδεικνύμενος ὁ θεολόγος ἐπήγαγε,

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος,
Ζεὺς κεφαλή, Ζεὺς μέσσα· Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος ἔπλετο νύμφη.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
Ζεὺς πνοιὴ πάντων, Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή,
Ζεὺς πόντου ῥίζα, Ζεὺς ἥλιος ἠδὲ σελήνη.
Ζεὺς βασιλεύς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος·
Ἓν κράτος, εἷς δαίμων γένετο, μέγας ἀρχὸς ἁπάντων,
Ἓν δὲ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
Πῦρ, καὶ ὕδωρ, καὶ γαῖα, καὶ αἰθὴρ, νύξ τε καὶ ἦμαρ,
Καὶ Μῆτις πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής.
Πάντα γὰρ ἐν Ζηνὸς μεγάλῳ τάδε σώματι κεῖται.

Τοῦ δή τοι κεφαλὴν μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα,
Οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι
Ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται.
Ταύρεα δ' ἀμφοτέρωθε δύο χρύσεια κέρατα,
Ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων,
Ὄμματα δ' ἠέλιός τε καὶ ἀντιόωσα σελήνη.
Νοῦς δέ γε ἀψευδής, βασιλήϊος, ἄφθιτος αἰθήρ,
Ὧι δὴ πάντα κλύει καὶ φράζεται· οὐδέ τις ἐστὶν
Αὐδή, οὐδ' ἐνοπή, οὐδὲ κτύπος, οὐδὲ μὲν ὄσσα
Ἣ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος,
Ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχει, ἠδὲ νόημα·
Σῶμα δέ οἱ περιφεγγές, ἀπείριτον, ἀστυφέλικτον,
Ἄτρομον, ὀβριμόγυιον, ὑπερμενὲς ὧδε τέτυκτο.
Ὦμοι μὲν καὶ στέρνα, καὶ εὐρέα νῶτα θεοῖο,
Ἀὴρ εὐρυβίης. πτέρυγες δέ οἱ ἐξεφύοντο,
Τῇς ἐπὶ πάντα ποτᾶται. ἱερὴ δέ οἱ ἔπλετο νηδὺς,
Γαῖά τε παμμήτηρ, ὀρέων τ' αἰπεινὰ κάρηνα.
Μέσση δὲ ζώνη, βαρυηχέος οἶδμα θαλάσσης,
Καὶ πόντου. πυμάτη δὲ βάσις, χθονὸς ἔνδοθι ῥίζαι,
Τάρταρά τ' εὐρώεντα, καὶ ἔσχατα πείρατα γαίης.
Πάντα δ' ἀποκρύψας, αὖθις φάος ἐς πολυγηθὲς
Μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα
ῥέζων.

*Sed Proclus ibi primos duntaxat versus affert: cæteri per varios eius locos sparsi sunt. Omnes autem simul apud Eusebium extant, duo postremi apud Clementem Alex.*

## Ex Clemente Alex.

Αἰθέρος ἠδ' ἀΐδου, πόντου γαίης τε τύραννε,



Ὃς βρονταῖς σείεις βριαρὸν δόμον οὐλύμποιο·
Δαίμονες ὃν φρίσσουσι, θεῶν δὲ δέδοικεν ὅμιλος.
Ὧι μοῖραι πείθονται, ἀμείλικτοί περ ἐοῦσαι·
Ἄφθιτε μητροπάτωρ, οὗ θυμῷ πάντα δονεῖται·
Ὃς κινεῖς ἀνέμους, νεφέλῃσί τε πάντα καλύπτεις,
Πρηστῆρσι σχίζων πλατὺν αἰθέρα. σὴ μὲν ἐν ἄ-
στροις
Τάξις ἀναλλάκτοισιν ἐφημοσύναισι τρέχουσα·
Σῷ δὲ θρόνῳ πυρόεντι παρεστᾶσιν πολύμοχθοι
Ἄγγελοι, οἷσι μέμηλε βροτοῖς ὡς πάντα τελεῖται.
Σὸν μὲν ἔαρ λάμπει νέον ἄνθεσι πορφυρέοισι,
Σὸς χειμὼν ψυχραῖσιν ἐπερχόμενος νεφέλαισιν,
Ἄς ποτε Βακχευτὰς Βρόμιος διένειμεν ὀπώρας.

Εἶτα ἐπιφέρει, ῥητῶς παντοκράτορα ὀνομάζων τὸν θεόν,

Ἄφθιτον, ἀθάνατον, ῥητὸν μόνον ἀθανάτοισιν,
Ἐλθὲ μέγιστ' θεῶν πάντων κρατερῇ σὺν ἀνάγκῃ.
Φρικτός, ἀήτητος, μέγας, ἄφθιτος, ὃν στέφει αἰ-
θήρ.

## Ex Macrobio.

Orpheus quoque solem uolens intelligi, ait inter cætera,

Τήκων αἰθέρα δῖον, ἀκίνητον πρὶν ἐόντα,
Ἐξανέφηνε θεοῖς ὥραν κάλλιστον ἰδέσθαι,
Ὃν δὴ νῦν καλέουσι Φάνητά τε καὶ Διόνυσον,
Εὐβουλῆά τ' ἄνακτα, καὶ Ἀνταύγην ἀρίδηλον·
Ἄλλοι δ' ἄλλο καλοῦσιν ἐπιχθονίων ἀνθρώπων.
Πρῶτος δ' ἐς φάος ἦλθε, Διόνυσος δ' ἐπεκλήθη,

Οὕνεκα δινεῖται κατ' ἀπείρονα μακρὸν ὄλυμπον.
Ἀλλαχθεὶς πρὸς ὄνομ' ἔσχε, προσωνυμίας ἢ ἑκάστον
Παντοδαπαῖς κατὰ καιρὸν, ἀμειβομένοιο χρόνοιο.

*Phaneta dixit solem* ἀπὸ τοῦ φωτὸς καὶ φανεροῦ, *id est à lumine atque illuminatione: quia cunctis uisitur cuncta conspiciens: Dionysius (ut ipse uates ait)* ἀπὸ τοῦ δινεῖσθαι καὶ περιφέρεσθαι, *id est, quòd circunferatur in ambitum.*

## Paulo póst.

*Iidem uersus Orphei* εὐβουλῆα *uocantes, boni consilij hunc deum præstitem monstrant. Nam si conceptu mentis consilia nascuntur, mundi autem mentem solem opinantur autores, à quo in homines manat intelligendi principium, meritò boni consilij solem antistitem crediderunt. Solē Liberū esse manifestè pronuntiat Orpheus hoc uersu,*

Ἥλιος ὃν Διόνυσον ἐπίκλησιν καλέουσι.

## Paulo póst.

*Orpheus Liberum atque Solem, unum esse deum eundêmque demonstrans, de ornatu uestitúque eius in sacris Liberalibus ita scribit,*

Ταῦτά γε πάντα τελεῖν ἱερᾷ σκευῇ πυκάσαντα,
Σῶμα θεοῦ πλάττειν ἐριαυγοῦς Ἠελίοιο.
Πρῶτα μὲν ἀργυφέαις ἐναλίγκιον ἀκτίνεσσιν
Πέπλον φοινίκεον πυρὶ εἴκελον ἀμφιβαλέσθαι·
Αὐτὰρ ὕπερθε νεβροῖο πανναιόλου εὐρὺ καθάψαι
Δέρμα πολύστικτον θηρὸς κατὰ δεξιὸν ὦμον,
Ἄστρων δαιδαλέων μίμημ', ἱεροῦ τε πόλοιο.
Εἶτα δ' ὕπερθε νεβρῆς χρύσεον ζωστῆρα βαλέσθαι
Παμφανόωντα, πέριξ στέρνων φορέειν, μέγα σῆμα,



Εὐθὺς ὅτ' ἐκ περάτων γαίης Φαέθων ἀνορούσων
Χρυσείαις ἀκτῖσι βάλῃ ῥόον ὠκεανοῖο,
Αὐγὴ δ' ἄσπετος ᾖ, ἀνὰ δὲ δρόσῳ ἀμφιμιγεῖσα
Μαρμαίρῃ δίνῃσιν ἑλισσομένη κατὰ κύκλον
Πρόσθε θεοῦ, ζώνη δ' ἄρ' ὑπὸ στέρνων ἀμετρήτων
Φαίνετ' ἄρ' ὠκεανοῦ κύκλος, μέγα θαῦμ' ἐσιδέσθαι.

## Ex eodem.

*Solem esse omnia & Orpheus testatur his uersibus,*

Κέκλυθι τηλεπόρου δίνης ἑλικαυγέα κύκλον
Οὐρανίαις στροφάλιγξι περίδρομον αἰὲν ἑλίσσων,
Ἀγλαὲ Ζεῦ Διόνυσε, πάτερ πόντου, πάτερ αἴης,
Ἥλιε παγγενέτορ, πανναίολε, χρυσεοφεγγές.

## Ex eodem.

*Et Apollinē* πατρῷον *cognominarunt, nō propria gentis unius ac ciuitatis religione, sed ut autorē progenerandarum omniū rerum: quòd sol humoribus exiccatis progenerandis omnibus præbuit causam, ut ait Orpheus,*

Πατρὸς ἔχοντα νόον καὶ ἐπίφρονα βουλήν.

## Ex Lactantio.

*Orpheus, qui temporibus eius recentior fuit, apertè Saturnū in terra & apud homines regnasse cōmemorat.*

Πρώτιστος μὲν ἄναξ ἐξ ἐπιχθονίων Κρόνος ἀνδρῶν,
Ἐκ δὲ Κρόνου γένετ' αὐτὸς ἄναξ μέγας εὐρύοπα Ζεύς.

## Ex eodem.

*Deum uerum & magnum,* πρωτόγονον, *primigenitum [Orpheus] appellat, quòd ante ipsum nihil sit geni-*

*tum, sed ab ipso cuncta sint generata. Eundem etiam* Φάνητα *nominat, quòd quum adhuc nihil esset, primus ex infinito apparuerit & extiterit. Cuius originem atque naturam quia concipere animo non poterat, ex aere immenso natum esse dixit:*

Πρωτόγονος Φαέθων, περιμήκεος ἠέρος υἱός.

*Aliud enim amplius quod diceret non habebat. Hunc ait esse omnium deorum parentem, quorum causa cælum condiderit, liberísque prospexerit, ut haberent habitaculum sedémque communem,*

Ἔκτισεν ἀθανάτοις δόμον ἄφθιτον.

## *Sequuntur loci in quibus itidem* Φάνητος, τοῦ πρωτογόνου θεοῦ, *fit mentio.*

## Ex Proclo.

Ἔστι γὰρ (εἰ χρὴ διαρρήδην τὰ τοῦ καθηγεμόνος λέγειν) ὁ παρὰ τῷ Ὀρφεῖ πρωτόγονος θεὸς, κατὰ τὸ πέρας τῶν νοητῶν ἱδρυμένος παρὰ τῷ Πλάτωνι τῷ αὐτοζώῳ. διὸ καὶ αἰώνιόν ἐστι καὶ τῶν νοουμένων κάλλιστον· καὶ τοῦτό ἐστιν ἐν νοητοῖς ὅπερ ὁ Ζεὺς ἐν νοεροῖς. πέρας δὲ ἑκάτερος τῶνδε τῶν τάξεων. καὶ ὁ μὲν, τῶν παραδειγματικῶν αἰτίων τὸ πρώτιστον, ὁ δὲ, τῶν δημιουργικῶν τὸ μοναδικώτατον. διὸ καὶ ἑνοῦται πρὸς ἐκεῖνον ὁ Ζεὺς διὰ μέσης τῆς νυκτὸς, καὶ πληρωθεὶς ἐκεῖθεν, γίγνεται κόσμος νοητὸς, ὡς ἐν νοεροῖς.

Ὡς τότε πρωτογόνοιο χανὼν μένος ἤρικε παιον
Τῶν πάντων δὲ δέμας εἶχεν ἐνὶ γαστέρι κοίλῃ,
Μίξε δ' οἷς μελέεσσι θεοῦ δύναμίν τε καὶ ἀλκὴν,
Τοὔνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη.

## Ex Athenagora.

Καὶ τίς ἂν ἄνθρωπος κεχρημένος καὶ ἐν θεωρίᾳ γεγονὼς



ὑπὸ θεοῦ γεννηθῆναι πιστεύσαι ἔχιδναι; Ὀρφεὺς,

Ἂν δὲ Φάνης ἄλλην γενεὴν τεκνώσατο δεινὴν
Νηδύος ἐξ ἱερῆς, προσιδεῖν φοβερωπὸν ἔχιδναν,
Ἧς χαῖται μὲν ἀπὸ κρατὸς καλόν τε πρόσωπον
Ἦν ἐσιδεῖν, τὰ δὲ λοιπὰ μέρη, φοβεροῖο δράκοντος,
Αὐχένος ἐξ ἄκρου.

ἢ αὐτὸν τὸν Φάνητα δέξαιτο, θεὸν ὄντα πρωτόγονον (οὗτος γάρ ἐστιν ὁ ἐκ τοῦ ᾠοῦ προχυθεὶς) ἢ σῶμα ἢ σχῆμα ἔχειν δράκοντος; ἢ καταποθῆναι ὑπὸ τοῦ Διὸς, ὅπως ὁ Ζεὺς ἀχώρητος γένοιτο;

## Ex Proclo.

Θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον,
Τοῖον ἀπέστιλβε χροὸς ἀθανάτοιο Φάνητος.

*Fit autem ab eodem Proclo (sicut ab Athenagora) mentio &* τῆς καταπόσεως τοῦ Φάνητος, *in iis quæ paulo ante ex eo allata fuerunt.*

## Ex eodem.

Τίκτει γὰρ ἡ Γῆ λαθοῦσα τὸν Οὐρανὸν, ὥς φησιν ὁ θεολόγος,

Ἑπτὰ μὲν εὐειδεῖς κούρας, ἑπτὰ δὲ παῖδας ἄνακτας.
Θυγατέρας μὲν Θέμιν καὶ εὔφρονα Τηθὺν,
Μνημοσύνην τε βαθυπλόκαμον, Θείαν τε μάκαιραν.
Ἠδὲ Διώνην τίκτεν ἀριπρεπὲς εἶδος ἔχουσαν,
Φοίβην τε, Ῥείην τε, Διὸς γενέτειραν ἄνακτος.

Παῖδας δὲ ἄλλους τοσούτους,

Κοῖόν τε Κρειόν τε μέγαν, Φόρκυν τε καρτερὸν,
Καὶ Κρόνον, Ὠκεανόν θ', Ὑπερίονά τ', Ἰαπετόν τε.

## Ex eodem, aliquanto post.

Ὥς γὰρ ἐνόησε φησὶν αὐτοὺς ὁ Οὐρανὸς ἀμείλιχον ἦτορ ἔχοντας,
Καὶ φύσιν ἐκνομίην, ῥῖψε βαθὺν γαίης ἐς Τάρταρον.

## Paulo póst.

Τῶν γὰρ ἄλλων Τιτάνων εἰς τὴν κατὰ τοῦ πατρὸς ἐπιβουλὴν ἱεμένων, ὁ Ὠκεανὸς ἀπαγορεύει τε πρὸς τὰς τῆς μητρὸς ἐπιτάξεις, καὶ ἐνδοιάζει περὶ τῆς τάξεως,

Ἔνθ' οὖν τ' Ὠκεανὸς μὲν ἐνὶ μεγάροισιν ἔμιμνεν,
Ὁρμαίνων ποτέρωσε νόον τράποι, ἢ ἑ πατέρα
Ὃν γνώσῃ τε βίης, καὶ ἀτάσθαλα λωβήσαιτο,
Σὺν Κρόνῳ, ἠδ' ἄλλοισιν ἀδελφοῖς, οἳ πεπίθοντο
Μητρὶ φίλῃ· ἢ τούς γε λιπὼν μίμνοι ἔνδον ἕκηλος.
Πολλὰ δὲ πορφύρων, μίμνεν ἥμενος ἐν μεγάροισι,
Σκυζόμενος ᾗ μητρὶ, κασιγνήτοισι δὲ μᾶλλον.

Μένει οὖν ἔσω ἅμα καὶ πρόεισι μετὰ τῆς Τηθύος. συνέζευκται γὰρ αὐτῇ κατὰ τὴν πρώτην ἀπογέννησιν. οἱ δὲ ἄλλοι Τιτᾶνες εἰς διάκρισιν ἐπάγονται καὶ πρόοδον. ἡγεῖται δὲ αὐτῶν ὁ μέγιστος Κρόνος, ὥς φησιν ὁ θεολόγος. καίτοιγε ὅτι ὁ Κρόνος ὑπέρτερός ἐστι τοῦ ὠκεανοῦ, δεδήλωκεν ὁ θεολόγος, πάλιν λέγων, τὸν μὲν Κρόνον αὐτὸν καταλαμβάνειν τὸν οὐράνιον ὄλυμπον, κἀκεῖ θρονιασθέντα βασιλεύειν τῶν Τιτάνων· τὸν δὲ Ὠκεανὸν, τὴν λῆξιν ἅπασαν τὴν μέσην. ναίειν γὰρ αὐτὸν ἐν τοῖς θεσπεσίοις ῥείθροις τοῖς μετὰ τὸν Ὄλυμπον, καὶ τὸν ἐκεῖ περιέπειν οὐρανὸν, ἀλλ' οὐ τὸν ἀκρότατον.



## Ex eodem.

Οὕτω γὰρ ἡ δημιουργικὴ πέρας ἴσχει βούλησις, καὶ τὰ χείρω κρατεῖ, καὶ ὑπὸ τῶν ἀμεινόνων, ἐν μὲν τοῖς μερικοῖς Ἀτλαντῖνοι ὑπὸ τῶν Ἀθηναίων, ἐν δὲ τοῖς ὅλοις οἱ Τιτᾶνες ὑπὸ τῶν Ὀλυμπίων,

Καὶ κρατεροί περ ἐόντες, ἀμείνονος ἀντιάσαντες,
Ὕβριος ἀντ' ὀλοῆς καὶ ἀτασθαλίης ὑπερόπλου,

φησὶν ὁ θεολόγος. ὃν καὶ Πλάτων ζηλώσας, &c.

## *Ex Athenagora, eodem pertinentia.*

Ὁμήρου μὲν γὰρ λέγοντος, Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν· Ὀρφέως δὲ (ὃς καὶ τὰ ὀνόματα αὐτῶν πρῶτος ἐξεῦρεν, καὶ τὰς γενέσεις διεξῆλθε, καὶ ὅσα ἑκάστοις πέπρακται εἶπε, καὶ πεπίστευται παρ' αὐτοῖς ἀληθέστερον θεολογεῖν· ᾧ καὶ Ὅμηρος τὰ πολλὰ καὶ περὶ θεῶν μάλιστα ἕπεται) καὶ αὐτοῦ τὴν πρώτην γένεσιν αὐτῶν ἐξ ὕδατος συνιστάντος,

Ὠκεανὸς, ὅσπερ γένεσις πάντεσσι τέτυκται.

Ἦν γὰρ ὕδωρ ἀρχὴ κατ' αὐτὸν τοῖς ὅλοις, ἀπὸ δὲ τοῦ ὕδατος ἰλὺς κατέστη· ἐκ δὲ ἑκατέρων ἐγεννήθη ζῷον δράκων, προσπεφυκυῖαν ἔχων κεφαλὴν λέοντος. διὰ μέσου δὲ αὐτῶν, θεοῦ πρόσωπον, ὄνομα Ἡρακλῆς καὶ Κρόνος. οὗτος ὁ Ἡρακλῆς ἐγέννησεν ὑπερμέγεθες ᾠὸν, ὃ συμπληρούμενον ὑπὸ βίας τοῦ γεγεννηκότος, ἐκ παρατριβῆς εἰς δύο ἐρράγη. τὸ μὲν οὖν κατὰ κορυφὴν αὐτοῦ, οὐρανὸς εἶναι ἐτελέσθη· τὸ δὲ κατενεχθὲν, γῆ. προῆλθε δὲ καὶ θεὸς Γῆ διὰ σώματος. Οὐρανὸς δὲ Γῇ μιχθεὶς, γεννᾷ θηλείας μὲν, Κλωθὼ, Λάχεσιν, Ἄτροπον· ἄνδρας δὲ ἑκατόγχειρας, Κόττυν, Γύγην, Βριάρεων· καὶ Κύκλωπας, Βρόντην καὶ Στερόπην καὶ Ἄργον. οὓς καὶ δήσας κατεταρτάρωσεν, ἐκπεσεῖσθαι αὐτὸν ὑπὸ τῶν παίδων τῆς ἀρχῆς μαθών. διὸ καὶ ὀργισθεῖσα ἡ Γῆ τοὺς Τιτᾶνας ἐγέννησε.

Κούρους δ' οὐρανίωνας ἐγείνατο πότνια Γαῖα,

Οὓς δὴ καὶ Τιτῆνας ἐπίκλησιν καλέουσιν,
Οὕνεκα τισάσθην μέγαν Οὐρανὸν ἀστερόεντα.

## Ex Proclo.

Ὡς γὰρ φησὶν ὁ θεολόγος, οἱ πρῶτοι τεκτονόχειρες τῷ Διὶ τὰς δημιουργικὰς δυνάμεις ἔδοσαν πάσης τῆς ἐγκοσμίου ποιήσεως.

Οἳ Ζηνὶ βροντήν τε πόρον, τεῦξαν τε κεραυνὸν,
Πρῶτοι τεκτονόχειρες, οἳ Ἥφαιστον καὶ Ἀθήνην
Δαίδαλα πάντ' ἐδίδαξαν ὅσ' οὐρανὸς ἐντὸς ἐέργει.

## Ex eodem.

Καὶ ὁ πόλεμος, μέρος τῆς δημιουργίας, ὃν ἡ στρατηγικὴ τῆς Ἀθηνᾶς διαπράττει δεόντως. καὶ περὶ τούτων ἁπάντων, ὁ ἐν ταῖς παραδειγματικαῖς αἰτίαις καὶ τῷ νοητῷ περιϊδρυμένος, καὶ ἐν τῇ μιᾷ νοήσει τῆς Ἀθηνᾶς περιεχόμενος.

Ἡ δὲ γὰρ ἀθανάτων προφερεστάτη ἐστὶν ἁπασῶν
Ἱστὸν ἐποίχεσθαι,

φησὶν Ὀρφεύς. ἐκεῖ ἡ τε ὑφαντικὴ πρώτως, καὶ ὁ πέπλος τῆς οὐσίας τῆς θεοῦ ταύτης, ἣ πάντα ἐστὶ νοερῶς, ὅσα τὸ πᾶν ἐγκοσμίως. οὐ γὰρ ἀλλαχοῦ βλέπουσα ἢ εἰς ἑαυτήν, τὸν ἐν τῷ παντὶ πρυτανεύει πόλεμον.

## Ex alio eiusdem Procli loco.

Ἡ γὰρ [ Ἀθηνᾶ ] ἑνιαίως πᾶσαν συνέχουσα τὴν πατρικὴν σοφίαν, φιλόσοφός ἐστι. καὶ ἡ πᾶσαν ἐναντίωσιν μονοειδῶς ἐπιτροπεύουσα, φιλοπόλεμος ἂν εἰκότως καλοῖτο. διὸ καὶ Ὀρφεὺς περὶ αὐτῆς ἐκτιθέμενος φησὶν, ὅτι ἄρα αὐτὴν ὁ Ζεὺς ἀπογεννήσει ἐκ τῆς κεφαλῆς,

Ὅπλοις λαμπομένην, χαλκήιον ἄνθος ἰδέσθαι.



## Ex eodem.

Ἢ οὐκ ἴσμεν ὡς τὰ μὲν Βενδίδεια τὴν Ἄρτεμιν θεραπεύειν κατὰ τὸν Θρακῶν νόμον ἐθέλει, καὶ τὸ ὄνομα τοῦτο Θρᾴκιον ἡ Βένδις. οὕτω καὶ Θρακὸς θεολόγου μετὰ τῶν πολλῶν τῆς σελήνης ὀνομάτων καὶ τὴν Βένδιν εἰς τὴν θεὸν ἀναπέμψαντος,

Πλουτώνη τε, Εὐφροσύνη, Βένδις τε κραταιά.

Τὰ δὲ Παναθήναια καὶ ταῦτα μικρά, λεγόμενα τοῖς Βενδιδείοις ἑπόμενα, τὴν Ἀθηνᾶν εἶχε τῆς ἑορτῆς πρόφασιν. οὐκοῦν ἄμφω μέν, παῖδες Διός, ἄμφω παρθένοι. προσκείσθω δὲ καὶ ὅτι ἄμφω φωσφόροι. ἡ μὲν ἀμυδρῶς εἰς φῶς ἄγουσα τοὺς ἀφανεῖς λόγους τῆς φύσεως, ἐστὶ φωσφόρος· ἡ δέ, ὡς τὸ νοερὸν φῶς ἀνάπτουσα ταῖς ψυχαῖς.

Δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ.

καὶ ὡς ἀφαιροῦσα τὴν ἀχλύν, ἧς παρούσης οὐχ ὁρᾷ ψυχὴ τί μὲν τὸ θεῖον, τί δὲ τὸ ἀνθρώπειον.

*Affertur & hic versus tanquam Orphei: quod si & apud alium extet, sumptum ex illo fuisse dicendum fuerit.*

## Ex eodem.

Οἱ δὲ Πυθαγόρειοι ἔλεγον ἐν τῷ οὐρανῷ θεωρεῖσθαι τὰ στοιχεῖα διχῶς, ἄλλως μὲν περὶ ἡλίου, ἄλλως δὲ μετὰ ἥλιον. γῆ μὲν γὰρ αἰθερία, ἡ σελήνη. τοῦτο μὲν οὖν καὶ ὁ θεολόγος εἴρηκε σαφῶς,

Μήσατο δ' ἄλλην γαῖαν ἀπείρατον, ἥν τε σελήνην
Ἀθάνατοι κλήζουσιν, ἐπιχθόνιοι δέ τε μήνην,
Ἣ πόλλ' οὔρε' ἔχει, πόλλ' ἄστεα, πολλὰ μέλαθρα.

## Ex eodem.

Οὔτι ἄρα ὀμμάτων δεῖται [ὁ κόσμος] πρὸς τὴν ὅρασιν,

οὔτε ὤπων πρὸς τὴν ἀκοήν· καὶ ἔχει καὶ τοῦτο τὸ ἀνόμματος κατ' εἰκόνα τοῦ νοητοῦ θεοῦ, πρὸς ὃν ἀπείκαστο. καὶ γὰρ ἐκεῖνον ἀνόμματον ἔρωτα φησὶν ἔχειν Ὀρφεύς,

Ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν ἔρωτα.

## Ex eodem.

Κραῖνε μὲν οὖν Ζεὺς πάντα πατήρ, Βάκχος δ' ἐπέκραινε.

## Ex eodem.

Τὰ τοίνυν ὅλα περιέχων ὁ Ζεύς, καὶ πάντα μοναδικῶς καὶ νοερῶς κατὰ τοὺς χρησμοὺς μετὰ τῆς νυκτὸς ὑφίστησι, καὶ πάντα τὰ ἐγκόσμια θεῶν τε, καὶ τὰς μοίρας τοῦ παντός. λέγει γοῦν πρὸς αὐτὸν ἡ νὺξ ἐρωτήσαντα,

Πῶς δέ μοι ἕν τε τὰ πάντ' ἔσται καὶ χωρὶς ἕκαστον,
Αἰθέρι πάντα πέριξ ἀφάτῳ λάβε, τῷ δ' ἐνὶ μέσσῳ
Οὐρανόν, ἐν δέ τε γαῖαν ἀπείριτον, ἐν δὲ θάλασσαν,
Ἐν δέ τε τείρεα πάντα τά τ' οὐρανὸς ἐστεφάνωτο.

Καὶ δὴ καὶ περὶ τῶν ἄλλων ὑποθέμενος δημιουργημάτων, ἐπήνεγκεν,

Αὐτὰρ ἐπὴν δεσμὸν κρατερὸν ἐπὶ πᾶσι τανύσσῃς.

Δεσμὸς πάντως κρατερὸς καὶ ἀδιάλυτος, ὁ ἀπὸ τῆς φύσεως, καὶ τῆς ψυχῆς, καὶ τοῦ νοῦ.

### *Idem Proclus alibi.*

Διὸ καὶ ὁ παρ' Ὀρφεῖ δημιουργὸς περὶ τούτων ἐρωτᾷ διαφερόντως τὴν νύκτα, λέγων, Πῶς δέ μοι ἕν τε τὰ πάντ·



ἔσται καὶ χωρὶς ἕκαστον. τὸ μὲν γάρ, χωρὶς ἕκαστον, διὰ τῆς ἑτερότητος ποιεῖ· τὸ δέ, ἓν εἶναι τὰ πάντα, διὰ τῆς ταυτότητος.

## Ex eodem.

Παρ' Ὀρφεῖ τὰ τῆς φύσεως ἔργα, κλυτὰ προσαγορεύεται,

Καὶ φύσεως κλυτὰ ἔργα μένει, καὶ ἀπείριτος αἰών.

## Ex eodem.

Οὐ μόνοι οἱ μαθηματικοὶ λέγουσι περὶ τοῦ μὴ πᾶν κλίμα γῆς ἀνθρώποις ἔχειν, ἀλλὰ καὶ Ὀρφεύς, οὑτωσὶ διορίζων,

--διώρισε δ' ἀνθρώποις
Χωρὶς ἀπ' ἀθανάτων ναίειν ἕδος, ἧ μέσος ἄξων
Ἠελίου τρέπεται ποτινεύμενος, οὔτε τι λίην
Ψυχρὸς ὑπὲρ κεφαλῆς, οὔτ' ἔμπυρος, ἀλλὰ μεσηγύς.

## Ex Diodoro Siculo.

Τοὺς Ἕλληνας [φασὶ] ταύτην [τὴν γῆν] παραπλησίως Δήμητρα καλεῖν, βραχὺ μετατεθείσης διὰ τὸν χρόνον τῆς λέξεως. τὸ γὰρ παλαιὸν ὀνομάζεσθαι γῆν μητέρα· καθάπερ καὶ τὸν Ὀρφέα προσμαρτυρεῖν, λέγοντα,

Γῆ μήτηρ πάντων, Δημήτηρ πλουτοδότειρα.

## Ex Iustino Martyre.

Ὁ δὲ ποιητὴς Ὅμηρος τῇ τῆς ποιήσεως ἀποχρώμενος ἐξουσίᾳ, καὶ τὴν ἐν ἀρχῇ τῆς πολυθεότητος Ὀρφέως ζηλώσας δόξαν, μυθωδῶς μὲν πλειόνων θεῶν μέμνηται, ἵνα μὴ δόξῃ τῆς Ὀρφέως ἀπᾴδειν ποιήσεως· ἣν οὕτως ζηλῶσαι προὔθετο, ὡς καὶ διὰ τοῦ πρώτου τῆς ποιήσεως ἔπους τὴν πρὸς αὐτὸν σημῆναι σχέσιν. τοῦ γὰρ Ὀρφέως,

Μῆνιν ἄειδε θεὰ Δημήτερος ἀγλαοκάρπου,

ἐν ἀρχῇ τῆς ποιήσεως εἰρηκότος, αὐτὸς Μῆνιν ἄειδε θεὰ Πη-

ληϊάδεω Ἀχιλλῆος, γέγραφεν, ἑλόμενος ἐν ἀρχῇ καὶ τὸ κατὰ τὴν ποίησιν ἐκπεσεῖν μέτρου, ἵνα μὴ δόξῃ τὸ τῶν θεῶν ὀνόματος μεμνῆσθαι πρῶτος.

## Ex Strobæo.

Ζεὺς δ᾽ ἐνορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
Ἠδ᾽ ὅσοι οὐκ ἀλέγουσιν, ἀναιδέα θυμὸν ἔχοντες·
Καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἔσθλα δίδωσι,
Τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται εὐμενίδεσι.
Δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων.

## Ex Sexto philoſopho.

Οἱ γὰρ νόμοι, πόλεων εἰσὶ σύνδεσμοι· καὶ ὡς ψυχὴ σώματος ἐκφθαρέντος φθείρεται, οὕτω νόμων ἀναιρεθέντων καὶ αἱ πόλεις διόλλυνται. παρὸ καὶ ὁ ἠθολόγος Ὀρφεὺς τὸ ἀναγκαῖον αὐτῶν ὑποφαίνων, φησί,

Ἦν χρόνος ἡνίκα φῶτες ἀπ᾽ ἀλλήλων βίον εἶχον
Σαρκοδακῆ, κρείσσων δὲ τὸν ἥττονα φῶτα δάϊζε.

Μηδενὸς γὰρ ἐπιστατοῦντος νόμου, ἕκαστος ἐν χερσὶ τὸ δίκαιον εἶχε.

## Ex Plutarcho.

Ἀλλὰ μὴν καὶ τἀγαθὸν ἐν πέντε γενέσεσι φανταζόμενον κατανοήσας, ὧν πρῶτόν ἐστι τὸ μέτριον· δεύτερον δὲ, τὸ σύμμετρον· καὶ τρίτον, ὁ νοῦς· καὶ τέταρτον, αἱ περὶ ψυχὴν ἐπιστῆμαι καὶ τέχναι καὶ δόξαι ἀληθεῖς· πέμπτον, εἴ τις ἡδονὴ καθαρὰ καὶ πρὸς τὸ λυποῦν ἄκρατος· ἐνταῦθα λήγει, τὸ Ὀρφικὸν ὑπειπών,

Ἕκτῃ δ᾽ ἐν γενεᾷ καταπαύσατε θυμὸν ἀοιδῆς.



## Ex Tzetze.

Ἢ ἀπὸ τῆς ἀρετῆς [ἥρωες λέγονται] ὥς φησιν Ὀρφεὺς,
Μητέρα δ᾽ ἡρώων ἀρετὴν ἀπάνευθε κλύοντες.

## Ex eodem.

Ἡσιόδου ἔργα καὶ ἡμέραι τὸ βιβλίον ἐπιγέγραπται, ἤτοι διδασκαλία γεωργίας, καὶ ἡμερῶν καθ᾽ ἃς δεῖ τόδε καὶ τόδε ποιεῖν. Οὕτω δὲ ἐπιγέγραπται πρὸς ἀντιδιαστολὴν τῶν ἑτέρων αὐτοῦ πεντεκαίδεκα βιβλίων, ἀσπίδος, θεογονίας, ἡρωογονίας, γυναικῶν καταλόγου, καὶ λοιπῶν ἁπάντων. ἔστι δὲ πρὸς ἀντιδιαστολὴν τῶν τοῦ μεγάλου Ὀρφέως ἔργων καὶ ἡμερῶν· ὧν ἔργων Ὀρφέως, ἤτοι τοῦ περὶ γεωργίας, οὕτως ἐστὶν ἡ ἀρχὴ,

Εἰ δὲ γεωπονίας σε φιλομβρότου ἵμερος αἱρεῖ,
Καί τ᾽ ἐπὶ χρυσείης γενεῆς ἐντύνεαι ἔργα,
Γαῖαν ἐπιζείδωρον ἄγων εὐκαμπὲς ἄροτρον,
Ἢ γυροῖς ἐνὶ κλῆμα μεθυμναίου λελίησαι
Καταθέμεναι, καὶ λαρὸν ὀπώρης εἶδαρ ἑλέσθαι
Ἱμείρῃ, σκαπάνῃ τε λαχῆναι ἄμβροτον αἶαν·
Αὐτίκα δή τοι πᾶσαν ἐτητυμίην καταλέξω,
Ὅππως ἂν πάντα σελήνῃ πεπίθοιτο
Ὄμπνιά σοι Δήμητρος ἀερσινόοιό τε Βάκχου
Δῶρ᾽ ἀναπεμπέμεναι, καὶ ἐπιστάχυν ὄλβον ὀπάζειν.

Καὶ τῶν μὲν ἔργων Ὀρφέως οὕτως ἐστὶν ἡ ἀρχή· αἱ δὲ ἡμέραι, ἤτοι αἱ ἐφημερίδες αὐτοῦ, ἄρχονται οὕτως,

Πάντ᾽ ἐδάης Μουσαῖε θεόφραδε. εἰ δέ σ᾽ ἀνώγει
Θυμὸς ἐπωνυμίας μήνης κατὰ μοῖραν ἀκοῦσαι,
Ῥεῖά τοι ἐξερέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν.

Οἵην τάξιν ἔχοντα κυρεῖ. μάλα γὰρ χρέος ἐστὶν
Ἴδμεναι ὡς αὐτὴ παρέχει κλέος αὐτυγι μηνός.

## Ex eodem.

*In hoc principium ἡμερῶν Hesiodi.*

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος, εὖ κατὰ μοῖραν
Πεφραδέμεν δμώεσσι. &c.

Μετὰ τὴν τῶν ἔργων διδασκαλίαν καὶ τὴν λοιπὴν ὑποθήκην τε καὶ παραίνεσιν, νῦν διαλαμβάνειν περὶ τῶν τῆς σελήνης ἐφημερίδων κατάρχεται· καί φησι ποῖα τούτων ποίῳ τῶν ἔργων καθέστηκε χρήσιμος, κἂν δεινῶς καὶ συγκεχυμένως καὶ κακοζήλως, ἔτι δὲ καὶ ψευδῶς· καὶ οὐχ ὥσπερ ὁ μέγας Ὀρφεὺς, διδασκαλικῶς τε καὶ πραγματικῶς πρὸς ἀκρίβειαν, καὶ τὸ πλέον τεχνικωτέρως καὶ ἀληθῶς. ἐκεῖνος μὲν γὰρ οὕτω φησί,

Πρώτην μὲν πρώτῳ ἐνὶ ἤματι φαίνεται Ἄρης.
Μήνη δ' εἰς τ' Ἄρην ἐπιτέλλεται, ἴσχεο δ' ἔργων.
Τὴν δὲ παρεξανύσασα, φύσιν δίκερων ἀναφαίνει.
Αὐτὰρ ἐπὴν τρίτον ἦμαρ ἀπόπροθεν ἠελίοιο,
Πᾶσιν ἐπιχθονίοισι φυτοσπόρου αἰτίη ἀλκῆς,
Τετράδι δ' αὐξομένη πολυφεγγέα λαμπάδα
τείνει.

## Ex eodem.

*Postquam dixit Orpheum scripsisse non solum ἐφημερίδας, sed etiam δωδεκαετηρίδας,*

Τῶν δωδεκαετηρίδων δὲ ἡ καταρχὴ, τοιάδε,

Δεῦρο γύναι, οὔατά μοι καθαρὰς ἀκοάς τε πετάσσας,





Κέκλυθι τάξιν ἅπασαν ὅσην τεκμήρατο δαίμων.
Ἔκ τε μιῆς νυκτὸς ἠδ' ἐξ ἑνὸς ἤματος αὕτως.

## Ex eodem.

Μέμνηται ταύτης [τῆς Ἠριγόνης] καὶ Ὀρφεὺς ἐν γεωργίᾳ, γράφων,

Ἀστραίη κούρη δὲ πέλει πρὸς ἅπαντα φερίστη
Σπέρματα, καὶ δὲ φυτοῖσιν ἐναίσιμος, ἔν τε βό-
θροισι
Βάλλειν ἔρνεα πάντα, τά τε δρυὸς ἄκρα λέγονται·
Οἴνας δ' ἐξαλέασθαι· ἐπεὶ συγέει περὶ ἄλλα
Ἰκαρίου κούρη λήνοις καὶ ἀδευκέας οἴνας·
Μνωομένη ὅσα λυγρὰ Διονύσοιο ἕκητι
Ἀκταῖοι μήσαντο, μέθῃ δεδμημένοι αἰνῇ,
Ἰκάριον, καί μιν στυφελαῖς κορύνῃσι δαΐξαν,
Σφαλλόμενοι δώροισι χορειμανέοιο Ἰάκχου.

## Ex eodem.

Ὄρος καὶ τὸ Λειβήθριον ἐστίν· ἀλλὰ καὶ πόλις
Τῆς γῆς Θρακῶν τῶν Ὀδρυσῶν· ὧν ὁ Ὀρφεὺς ὑπῆρχεν.
Γράφει γὰρ οὕτως ὁ ἀνὴρ ἐν τοῖς αὐτοῦ βιβλίοις.

Νῦν δ' ἄγε μοι κούρη Λειβηθριὰς ἔννεπε μοῦσα.

## Ex eodem.

Οὐδ' ἣν Ἰφίκλοιο θοώτερος αὐδάζοιο,
Ὅστε καὶ ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδ' ἔπι καρπὸν
Σίνετ', ἀήσυρα γυῖα φέρων ἐπὶ λήιον αὖοιν.

## Ex Platone.

Λέγει δέ που καὶ Ὀρφεὺς ὅτι

Ὠκεανὸς πρῶτος καλλιρρόου ἦρξε γάμοιο,

Ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν.

## Ex Dione Chrysostomo.

Ἐγένετο δὲ καὶ νεῶν ἅμιλλα· καὶ Ἀργὼ ἐνίκα· καὶ μετὰ ταῦτ' οὐκ ἔπλευσεν, ἀλλ' αὐτὴν ἀνέθηκεν ὁ Ἰάσων ἐνταῦθα τῷ Ποσειδῶνι. καὶ τὸ ἐπίγραμμα ἐπέγραψεν, ὃ λέγουσιν Ὀρφέως εἶναι,

Ἀργὼ τὸ σκάφος εἰμί· θεῷ δ' ἀνέθηκεν Ἰάσων
Ἴσθμια καὶ Νεμέοις στεψάμενον πίτυσιν.

## Ex Clemente.

Καὶ τί θαυμαστὸν εἰ Τυρρηνοὶ οἱ βάρβαροι αἰσχροῖς οὕτω τελίσκονται παθήμασιν, ὅπου γε Ἀθηναίοις καὶ τῇ ἄλλῃ Ἑλλάδι (αἰδοῦμαι καὶ λέγειν, αἰσχύνης ἔμπλεως) ἡ περὶ τὴν Δηὼ μυθολογία; ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα (τῆς Ἀττικῆς δέ ἐστι τοῦτο τὸ χωρίον) ἀποκάμνει, καὶ φρέατι ἐπικαθίζει λυπουμένη. τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰσέτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. ᾤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα αὐτοῖς, Βαυβώ, καὶ Δυσαύλης, καὶ Τριπτόλεμος· ἔτι δέ, Εὔμολπός τε καὶ Εὐβουλεύς. βουκόλος ὁ Τριπτόλεμος ἦν, ποιμὴν δέ, ὁ Εὔμολπος, συβώτης δέ, ὁ Εὐβουλεύς· ἀφ' ὧν τὸ Εὐμολπιδῶν καὶ τὸ κηρύκων τὸ ἱεροφαντικὸν δὴ τοῦτο Ἀθήνησι γένος ἤνθησεν. καὶ δὴ (οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν) ξενίσασα ἡ Βαυβὼ τὴν Δηώ, ὀρέγει κυκεῶνα αὐτῇ. τῆς δὲ ἀναινομένης λαβεῖν, καὶ πιεῖν οὐκ ἐθελούσης (πενθήρης γὰρ ἦν) περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα, καὶ ἐπιδεικνύει τῇ θεῷ. ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηώ, καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι. ταῦτ' ἔστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια· ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. παραθή-



σομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν' ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν.

Ὣς εἰποῦσα, πέπλους ἀνεσύρατο, δεῖξε δὲ πάντα
Σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος,
Χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις.
Ἡ δ' ἐπεὶ οὖν μείδησε θεά, μείδησ' ἐνὶ θυμῷ,
Δέξατο δ' αἰόλον ἄγγος ἐν ᾧ κυκεὼν ἐνέκειτο.

## Ex eodem.

Τὰ γὰρ Διονύσου μυστήρια τέλεον ἀπάνθρωπα· ὃν εἰσέτι παῖδα ὄντα, ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων, δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς φησιν ὁ Θράκιος,

Κῶνος καὶ ῥέμβος καὶ παίγνια καμπεσίγυια,
Μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

## Ex eodem.

Εὕροις δ' ἂν καὶ Ὅμηρον, τὸν μέγαν ποιητήν, ἐκεῖνα τὰ ἔπη,

Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης, καὶ τὰ ἑξῆς, κατὰ λέξιν μετενηνοχότα παρ' Ὀρφέως ἐκ τοῦ Διονύσου ἀφανισμοῦ. ἔν τε τῇ θεογονίᾳ ἐπὶ τοῦ Κρόνου Ὀρφεῖ πεποίηται,

Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος
Ἥρει πανδαμάτωρ.

Ταῦτα δὲ Ὅμηρος ἐπὶ τοῦ Κύκλωπος μετέθηκεν.

## Ex eodem.

Ὀρφέως τοίνυν ποιήσαντος,

Ὡς οὐ κύντερον ἄλλο καὶ ῥίγιον ἄλλο γυναικός,

Ὅμηρος ἀπηκριβὲς λέγει, οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.

## Ex eodem.

Ἀλλὰ καὶ Διονύσιος ὁ Θρᾷξ ὁ γραμματικὸς ἐν τῷ περὶ τῆς ἐμφάσεως τοῦ περὶ τῶν τροχίσκων συμβόλου φησὶ κατὰ λέξιν, Ἐσήμαινόν γ᾽ οὖν οὐ διὰ λέξεως μόνον, ἀλλὰ καὶ διὰ συμβόλων ἔνιοι τὰς πράξεις. διὰ λέξεως μὲν, ὡς ἔχει τὰ λεγόμενα Δελφικὰ παραγγέλματα, τὸ Μηδὲν ἄγαν. καὶ τὸ Γνῶθι σαυτὸν, καὶ τὰ τούτοις ὅμοια· διὰ δὲ συμβόλων, ὡς ὅ, τε τροχὸς ὁ στρεφόμενος ἐν τοῖς τῶν θεῶν τεμένεσιν, εἱλκυσμένος παρὰ Αἰγυπτίων, καὶ τὸ τῶν θαλλῶν τῶν διδομένων τοῖς προσκυνοῦσι. φησὶ γὰρ Ὀρφεὺς ὁ Θράκιος,

Θαλλῶν δ᾽ ὅσσα βροτοῖσιν ἐπὶ χθονὸς ἔργα
μέμηλεν
Οὐδὲν ἔχει μίαν αἶσαν ἐπὶ φρεσὶν, ἀλλὰ κυ-
κλεῖται
Πάντα πέριξ· στῆναι δὲ καθ᾽ ἓν μέρος οὐ θέμις
ἐστὶν,
Ἀλλ᾽ ἔχει ὡς ἤρξαντο δρόμου μέρος ἶσον ἕκαστος.

Οἱ θαλλοὶ ἤτοι τῆς προτέρας τροφῆς σύμβολον ὑπάρχουσιν, ἢ ὅπως ἐπιστῶνται οἱ πολλοὶ τοὺς μὲν καρποὺς δι᾽ ὅλου θάλλειν καὶ αὔξεσθαι, διαμένοντας ἐπιπλεῖστον, σφᾶς δὲ αὐτοὺς ὀλίγον εἰληχέναι τὸν τῆς ζωῆς χρόνον. τούτου χάριν δίδοσθαι τοὺς θαλλοὺς βούλονται. ἴσως δὲ καὶ ἵνα ἐπιστῶνται ὅτι ὡς οὗτοι αὖ καίονται, οὕτω καὶ τοὺς εἰς τοῦτον τὸν βίον ταχέως ἐκλιπεῖν, καὶ πυρὸς ἔργον γενήσεσθαι.



## Paulo pôst.

Ναὶ μὴν ἡ στοιχειωτικὴ τῶν παίδων διδασκαλία τὴν τῶν τεττάρων στοιχείων περιείληφεν ἑρμηνείαν. βέδυ μὲν γὰρ τοὺς Φρύγας τὸ ὕδωρ φησὶ καλεῖν. καθὰ καὶ Ὀρφεὺς,

Καὶ βέδυ νυμφάων καταλείβεται ἀγλαὸν ὕδωρ.

## Ex eodem.

Ἔστιν ὕδωρ ψυχῇ, θάνατος δ᾽ ὑδάτεσσιν ἀμοιβή,
Ἐκ δὲ ὕδατος γαῖα, τὸ δ᾽ ἐκ γαίας πάλιν ὕδωρ,
Ἐκ τοῦ δὴ ψυχὴ ὅλον αἰθέρα ἀλλάσσουσα.

## Ex eodem.

Ἤδη δὲ καὶ Ὅμηρος φαίνεται πατέρα καὶ υἱόν. διὰ τούτων ὡς ἔπιχεν μαντείας ἀστόλου λέγων,

Εἰ μὲν δὴ σύ πῃς σε βιάζεται οἶον ἐόντα,
Νοῦσον δ᾽ οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι.
Οὐ γὰρ κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν.

Καὶ περὶ τούτου Ὀρφεὺς κατὰ τοῦ προκειμένου φερόμενος εἴρηκεν,

Υἱὲ Διὸς μεγάλοιο, πάτερ Διὸς αἰγιόχοιο.

## Ex eodem.

*Post uersus antea allatos, quorum initium est,* Φθέγξομαι οἷς θέμις ἐστί.

Οὕτως μὲν δὴ Ὀρφεὺς χρόνῳ γέ ποτε συνῆκε πεπλανημένος,

Ἀλλὰ σὺ μὴ μέλλων βροτὲ ποικιλόμητι βράδυνε,
Ἀλλὰ παλίμπλαγκτος στρέψας θεὸν ἱλάσκοιο.

## Ex Proclo.

Πρὶν δὲ ἅψεται τῆς ὅλης πραγματείας, ἐπὶ θεῶν παρακλήσεις καὶ εὐχὰς τρέπεται, μιμούμενος καὶ ταύτῃ τὸν τοῦ παντὸς ποιητὴν· ὃς πρὸ τῆς ὅλης δημιουργίας, εἴς τε τὸ χρηστήριον εἰσιέναι λέγεται τῆς Νυκτὸς, κἀκεῖθεν πληροῦσθαι τῶν θείων νοήσεων, καὶ τὰς τῆς δημιουργίας ἀρχὰς ὑποδέχεσθαι, καὶ ἀπορίας (εἰ θέμις εἰπεῖν) ἁπάσας διαλύειν. καὶ δὴ καὶ τὸν πατέρα παρακαλεῖν εἰς τὴν τῆς δημιουργίας σύλληψιν. πρὸς μὲν τὴν Νύκτα τῷ θεολόγῳ πεποίηται λέγων,

Μαῖα θεῶν ὑπάτη, Νὺξ ἄμβροτε, πῶς τάδε
 φράζε,
Πῶς χρή μ' ἀθανάτων ἀρχὴν κρατερόφρονα
 θέσθαι.

καὶ ἀκούει παρ' αὐτῆς,

Αἰθέρι πάντα πέριξ ἀφάτῳ λαβὲ, τῷ δ' ἐνὶ
 μέσσῳ Οὐρανόν.

καὶ περὶ πάσης ἑξῆς ἀναδιδάσκεται τῆς κοσμοποιΐας. πρὸς δὲ τὸν Κρόνον πάλιν μετὰ τοὺς δεσμοὺς μονονοὐχ εὐχόμενος φησὶν,

Ὄρθου δ' ἡμετέρην γενεὴν ἀριδείκετε δαῖμον.

Καὶ διὰ πάντων τῶν ἐχομένων τὴν τοῦ πατρὸς εὐμένειαν προσκαλούμενος. καὶ πῶς γὰρ ἄλλως ἔμελλε θεῶν πάντα πληρώσειν, καὶ τῷ αὐτοζώῳ ἀφομοιώσειν τὸ αἰσθητὸν, ἢ πρὸς τὰς ἀφανεῖς αἰτίας τῶν ὅλων ἀνατεινόμενος; ἀφ' ὧν αὐτὸς πεπληρωμένος,

Μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα
 ἔργα.

*Conferendus est autem hic locus cum alio eiusdem Procli, quem habes supra, pag. 92, vbi pars eorundem verborum Orphei extat.*

*Qui sequuntur versus, à Proclo afferuntur, partim sub λογίων, vel λογίου, partim sub θεολογίας vel μυσταγωγίας θεοπαραδότου titulo: & petita hinc testimonia cum Orphicis interdum coniungit.*

Εἰ δ' οὖν καὶ ταῦτά τις εἰς τὴν Ὁμήρου διάνοιαν ἀναπέμπειν ἐθέλοι, πάντως οὐκ ἀπορήσει λόγων, συμφωνῶν μὲν ταῖς ἱερατικαῖς ἁπάσαις πραγματείαις, συμφωνῶν δὲ ταῖς τελεταῖς καὶ τοῖς μυστηρίοις, καὶ ταῖς τῶν θεῶν ἐπιφανείαις· ἃς ὄναρ τε καὶ ὕπαρ γινομένας ἄνωθεν ἡ τῶν ἀνθρώπων φήμη παρεδέξατο. ἐν ἅπασι γὰρ τούτοις οἱ θεοὶ πολλὰς μὲν ἑαυτῶν προτείνουσι μορφάς, πολλὰ δὲ σχήματα ἐξαλλάττοντες φαίνονται. καὶ τοτὲ μὲν ἀτύπωτον αὐτῶν προβέβληται φῶς, τοτὲ δὲ εἰς ἀνθρώπου μορφὴν ἐσχηματισμένον, τοτὲ δὲ εἰς ἀλλοῖον τύπον προεληλυθός. καὶ ταῦτα καὶ ἡ θεοπαράδοτος μυσταγωγία παραδίδωσι. ταῦτα γάρ φησιν ἐπιφωνήσασα,

Πῦρ ἴκελον σκιρτηδὸν ἐπ' ἠέρος οἴδμα τιταῖνον
Ἢ καὶ πῦρ ἀτύπωτον ὅθεν φανὴν προθέουσαν,
Ἢ φῶς πλούσιον ἀμφιγύην ῥιζαῖσιν ἑλιχθέν.
Ἀλλὰ καὶ ἵππον ἰδεῖν φωτὸς πλέον ἀστράπτοντα,
Ἢ καὶ παῖδα θοοῖς νώτοις ἐποχούμενον ἵππου,
Ελπυρον, ἢ χρυσῷ πεπυκασμένον, ἢ παλίγυμνον,
Ἢ καὶ τοξεύοντα καὶ ἑστηῶτ' ἐπὶ νώτοις,

καὶ ὅσα τούτοις ἐφεξῆς τὰ λόγια προστίθησιν, οὔτε ἀλλοίωσιν, οὔτε ποικιλίαν, οὔτε μεταβολὴν ἐπὶ τὸ θεῖον ἀναπέμποντα ποτέ, ἀλλὰ τὰς μεθέξεις αὐτοῦ διαφόρους ἐπιδεικνύοντα.

## Ex eodem Proclo.

Ὡς γὰρ εἴρηται πρότερον, νοῦ ἄνευ ψυχῆς ἀδύνατον παραγένεσθαί τῳ. τοῦτο δὲ ὅμοιον τῷ παρ' Ὀρφεῖ,

—γλυκερὸν γὰρ τέκος Διὸς ἐξεκαλεῖτο.

τοῦτο δέ ἐστιν ὁ κοσμικὸς νοῦς, δῖος ὤν, κατὰ τὸν ἐν τῷ Διῒ μείναντα προελθών. οὕτω δὲ καὶ ἡ θεοπαράδοτος θεολογία φησὶ συμπεπληρῶσθαι τὸν κόσμον ἐκ τῶνδε τῶν τριῶν. λέγει γοῦν ἡ ψυχὴ περὶ τοῦ Διὸς ἐπέκεινα τοῦ δημιουργήσαντος τὸ πᾶν,

—μετὰ δὴ πατρικὰς διανοίας
Ψυχὴ ἐγὼ ναίω, θερμὴ ψύχουσα τὰ πάντα. κατέθετο γὰρ
Νοῦν μὲν ἐνὶ ψυχῇ, ψυχὴν δ' ἐνὶ σώματι ἀργῷ,
Ἡμέας ἐγκατέθηκε πατὴρ ἀνδρῶν τε θεῶν τε.

Καὶ τοῦ Πλάτωνος τοῖς λόγοις μαρτυροῦντος, ὅταν θεόν τε αὐτὸν, πατέρα καλῇ, καὶ τὰς ψυχὰς παραδιδῷ γεννῶντα, καὶ εἰς ἀνδρῶν πέμποντα γένεσιν, κατὰ τὸν πρότερον βίον.

## Ex eodem.

Ἡ τοίνυν φύσις, ἐσχάτη μέν ἐστι τῶν τὸ σωματοειδὲς τοῦτο καὶ αἰσθητὸν δημιουργούντων αἰτίων, καὶ τὸ πέρας τοῦ τῶν ἀσωμάτων οὐσιῶν πλάτους· πλήρης δὲ λόγων καὶ δυνάμεων δι' ὧν κατευθύνει τὰ ἐγκόσμια. καὶ θεὸς μὲν τῷ ἐκθεοῦσθαι, καὶ οὐκ αὐτόθεν ἔχουσα τὸ εἶναι θεός. καὶ γὰρ τὰ θεῖα σώματα θεοὺς καλοῦμεν, ὡς ἀγάλματα τῶν θεῶν. ποδηγετοῦσα δὲ τὸν ὅλον κόσμον ταῖς ἑαυτῆς δυνάμεσι, καὶ τὸν μὲν οὐρανὸν τῇ ἑαυτῆς ἀκρότητι συνέχουσα, τὴν δὲ γένεσιν διὰ τοῦ οὐρανοῦ κυβερνῶσα, πανταχοῦ δὲ τὰ μερικὰ συνυφαίνουσα τοῖς ὅλοις. τοιαύτη δὲ οὖσα, προελήλυθεν ἀπὸ τῆς ζωογόνου θεᾶς,

Νώτοις δ' ἀμφὶ θεᾶς φύσις ἄπλετος ἠώρηται,

ἀφ' ἧς πᾶσα ζωὴ προέεισιν, ἥ τε νοερὰ καὶ ἡ ἀχώριστος τῶν



διοικουμένων. ἐξηρτημένη δ' ἐκεῖθεν καὶ ἀπαιωρημένη, φοιτᾷ διὰ πάντων ἀκωλύτως καὶ πάντα ἐμπνεῖ. δι' ἣν τὰ ἄψυχα, ψυχῆς μετέχει τινὸς, καὶ τὰ φθειρόμενα μένει διαιωνίως ἐν τῷ κόσμῳ, ταῖς ἐν αὐτῇ τῶν εἰδῶν αἰτίαις συνεχόμενα.

Ἀρχὴ δ' αὖ Φύσις ἀκαμάτη κόσμων τε καὶ ἔργων,

φησὶ τὸ λόγιον,

Οὐρανὸς ὄφρα θέῃ δρόμον ἀΐδιον κατασύρων,

καὶ τὰ ἑξῆς.

## Ex eodem.

Ὅ γε εἶπε περὶ τῆς μονάδος τῶν νέων θεῶν ὁ Ὀρφεὺς,

Κραῖνε μὲν οὖν Ζεὺς πάντα πατὴρ, Βάκχος δ' ἐπέκραινε,

τοῦτο καὶ περὶ τῶν νέων θεῶν ῥητέον, ὅτι δὴ τὴν δημιουργίαν ἐπιτελοῦσι τοῦ πατρὸς, ἣν ἐκεῖνος αὐτῷ τῷ νοεῖν ὑπέστησεν. ὥσπερ δή φησι καὶ τὸ λόγιον,

Ταῦτα πατὴρ ἐνόησε, βροτὸς δέ οἱ ἐψύχωτο.

καὶ πέπλασται οὖν τὰ θνητὰ καὶ ἐψύχωται κατ' αὐτὴν μόνην τὴν δημιουργικὴν νόησιν· οἱ δὲ νέοι θεοὶ τὴν ὁλικὴν ἐκείνου ποίησιν ἐκφαίνουσιν, διὰ τῆς ἑαυτῶν ἐκφανοῦς δημιουργίας πληρούμενοι τῆς δημιουργικῆς μονάδος.

## Ex eodem.

Τῷ πυρὶ γὰρ βροτὸς ἐμπελάσας θεόθεν φάος ἕξει.

## Ex eodem.

Δηθύνοντι βροτῷ κραιπνοὶ μάκαρες τελέθουσι.

*Affertur hic uersus non multo post proximè præcedentem, uidetûrque itidem esse* ἐκ τοῦ λογίου.

# ΜΟΥΣΑΙΟΥ ἜΠΗ.

# MVSAEI CARMINA.

## Ex Clemente Alex.

Γράψαντός τε Μουσαίου,

Ὡς αἰεὶ τέχνη μέγ' ἀμείνων ἰσχύος ἐστὶν,

Ὅμηρος λέγει, Μήτι τοι δρυτόμος περιγίνεται ἠὲ βίηφι.
Πάλιν τοῦ Μουσαίου ποιήσαντος,

Ὡς δ' αὔτως καὶ φύλλα φύει ζείδωρος ἄρουρα·
Ἄλλα μὲν ἐν μελίῃσιν ἀποφθίνει, ἄλλα δὲ φύει·
Ὣς δὲ καὶ ἀνθρώπων γενεὴ καὶ φύλλον ἑλίσσει.

Ὅμηρος μεταγράφει,

Φύλλα τὰ μὲν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
Τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίνεται ὥρη·
Ὣς ἀνδρῶν γενεὴ, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.

## Ex eodem.

Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι ὅσα θνητοῖσιν ἔδειμαν
Ἀθάνατοι· δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές.

**Hos enim duos uersus, qui apud Hesiodum extant** ἐπὶ τοῦ Μελάμποδος, ***dicit eum à Musæo accepisse sed*** κατὰ λέξιν. ***Eius enim uerba sunt,*** παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν.

## Ex Pausania.

Τὴν δὲ πληγὴν Ἀθηναῖοι τὴν ἐν Αἰγὸς ποταμοῖς οὐ μετὰ τοῦ δικαίου συμβῆναι σφίσιν ὁμολογοῦσι. προδοθῆναι γὰρ ἐπὶ χρήμασιν ὑπὸ τῶν στρατηγησάντων. Τυδέα δὲ εἶναι καὶ Ἀδείμαντον οἳ τὰ δῶρα ἐδέξαντο παρὰ Λυσαίδρου. καὶ ἐς ἀπόδειξιν τοῦ λόγου, Σιβύλλης παρέχονται τὸν χρησμὸν,

Καὶ τότ' Ἀθηναίοισι βαρύστονα κήδεα θήσει  
Ζεὺς ὑψιβρεμέτης, οὗπερ κράτος ἐστὶ μέγιστον,  
Νηυσὶ φέρει πολέμοιο μάχην καὶ δηϊοτῆτα  
Ὀλλυμέναις δολεροῖσι τρόποις, κακότητι νομήων.

Τὰ δὲ ἔπεα ἐκ Μουσαίου χρησμῶν μνημονεύουσι,

Καὶ γὰρ Ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος,  
Ἡγεμόνων κακότητι. παραιφασίη δέ τις ἔσται  
Ἧι γ' ἄλις ἠμύσουσι πόλιν, τίσουσι δὲ ποινήν.

## Ex Aristotele.

Φησὶ γοῦν καὶ Μουσαῖος εἶναι

--βροτοῖς ἥδιστον ἀείδειν.

## Ex Aristotele.

Ὁ δὲ ἀετὸς ὠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο· ὥσπερ ἐστὶ καὶ ἐπὶ τοῖς λεγομένοις Μουσαίου ἔπεσι,

Ὃς τρία μὲν τίκτει, τρία δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει.

# ΛΙ'ΝΟΥ Ε'ΠΗ.

# LINI CARMINA.

## Ex Stobæo.

Φράζεο δὴ, σπουδὴν ἐντυνάμενος δι' ἀκοῆς
Μύθων ἡμετέρων ἀτραπὸν περὶ παντὸς ἀληθῆ,
Κῆρας ἀπωσάμενος πολυπήμονας, αἵτε βεβήλων
Ὄχλον ἀνιστῶσαι, ἅπας περὶ πάντα πεδῶσι
Παντοίαις, μορφαῖν χαλεπῶν ἀπατήματ' ἔ-
χουσαι.
Τὰς μὲν ἀπὸ ψυχῆς εἴργειν φυλακῇσι νόοιο.
Οὗτος γάρ σε καθαρμὸς ὄντως δικαίως ὁσιώσει,
Εἴπερ ἀληθείῃ μισέοις ὀλοὸν γένος αὐτῶν.
Ἤδη μὲν πρώτιστ' αἵρεσιν δευτέραν ἁπάντων,
Ἣν ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς.

## Ex eodem.

Ἔλπεσθαι χρὴ πάντ' · ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον.
Ῥάδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

## Ex Ariſtobulo.

Ἑβδομάτη δή οἱ τετελεσμένα πάντα τέτυκται.

Καὶ πάλιν,

Ἑβδόμη εἰν ἀγαθοῖς, καὶ ἑβδόμη ἐστὶ γενέθλη·
Ἑβδόμη ἐν πρώτοισι, καὶ ἑβδόμη ἐστὶ τελείη.



Καὶ,

Ἑπτὰ δὲ πάντα τέτυκται ἐν οὐρανῷ ἀστερόεντι,
Ἐν κύκλοισι φανέντ' ἐπιτελλομένοις ἐνιαυτοῖς.

# ΠΥΘΑΓΟΡΟΥ ΧΡΥΣΑ ΕΠΗ.

# PYTHAGORAE AUREA CARMINA.

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται,
Τίμα· καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων·
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος·
Πραέσι δ' εἶκε λόγοις ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι. κρατεῖν δ' ἐθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι,
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.



Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πρᾴως φέρε, μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε δὲ φράζευ·
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
Προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
Εἴργεσθαι σαυτόν. ψεῦδος δ' ἤνπερ τι λέγηται,
Πρᾴως εἶχ'. ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω.
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
Πρῆξαι μηδ' εἰπεῖν ὅ,τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκου
Ὅσσα χρεών· καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή,
Ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
Ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσῃ,
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μηδ' ἀνελεύθερος ἴσθι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ· λόγισαι δὲ πρὸ ἔργου.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα,
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου.
Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε·
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
Παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον,
Θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται·
Γνώσῃ δ', ἣ θέμις ἐστὶ φύσιν περὶ παντὸς ὁμοίην·
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες, οἵτ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
Οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κυλίνδροις



Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
Σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἢ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων· καὶ φράζευ ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

# PYTHAGORAE, seu Pythagoreorum alia carmina.

## Ex Iustino Martyre.

*Allatis carminibus Orphei, quibus maiestas diuina describitur (quæ habes suprà, inter alia, pag. 79) subiungit,*

Καὶ ταῦτα οὕτως φράζει ὡς αὐτόπτης γεγονὼς τοῦ μεγέθους θεοῦ. κοινωνεῖ δ᾽ αὐτῷ καὶ Πυθαγόρας, ἐν οἷς γράφει,

Εἴ τις ἐρεῖ, Θεός εἰμι, πάρεξ ἑνὸς, οὗτος ὀφείλει
Κόσμον ἴσον τούτῳ στήσας εἰπεῖν, ἐμὸς οὗτος.
Κ᾽ οὐχὶ μόνον στήσας εἰπεῖν ἐμὸς, ἀλλὰ κατοικεῖν
Αὐτὸς ἐν ᾧ πεποίηκε, πεποίηται δ᾽ ἀπὸ τοῦδε.

## Ex Proclo.

Καὶ οὕτως εἰς τὴν τετράδα κατηντήσαμεν. καὶ ταῦτ᾽ ἄρα ἦν ὃ καὶ εἰς τὸν ἀριθμὸν ὁ Πυθαγόρειος ὕμνος ἔλεγε, ὅτι πρόεισι μὲν·

Μουνάδος ἐκ κευθμῶνος * ἔστ᾽ ἂν ἵκηται
Τετράδ᾽ ἐπὶ ζαθέην.

Τίκτει δὲ αὐτὴ τὴν δεκάδα, μητέρα πάντων οὖσαν. οὕτω δὴ καὶ αὐτὴν τὴν τετρακτὺν, παγὰν ἀενάου φύσεως ὕμνησεν ὁ τῶν χρυσῶν ἐπῶν πατήρ.

## Ex eodem, idem locus.

Εἰ μὲν οὖν περὶ νοερᾶς τινος τάξεως ἐποιεῖτο τὸν λόγον ὁ Τίμαιος, ἄλλον ἂν εἶπεν ἀριθμόν· οἷον ἑβδομαδικὸν, ἢ δεκαδικόν· ἐπειδὴ δὲ περὶ τῆς νοητῆς αἰτίας τῶν ἰδεῶν τῆς περιεχούσης πάντα ὅσα νοητὰ ζῶα, τέτταρας εἶναι φησὶ τὰς πρώ-



τας ἰδέας. ἐκεῖ γὰρ ἡ τετρὰς, ἀπὸ τῆς μονάδος προελθοῦσα τῆς νοητῆς, καὶ πληροῦσα τὴν δεκάδα τὴν δημιουργικήν.

--πρόεισιν [γὰρ] ὁ θεῖος ἀριθμὸς

(ὥς φησιν ὁ Πυθαγόρειος εἰς αὐτὸν ὕμνος)

Μουνάδος ἐκ κευθμῶνος ἀκηράτου, ἔστ᾽ ἂν ἵκηται
Τετράδ᾽ ἐπὶ ζαθέην, ἣ δὴ τέκε μητέρα πάντων,
Πανδοχέα, πρέσβειραν, ὅρον περὶ πᾶσι τιθεῖσαν,
Ἄτροπον, ἀκαμάτην δεκάδα· κλείουσί μιν ἁγνήν.

Μονάδα μὲν ἀκήρατον λέγων, καὶ κευθμῶνα τῆς μονάδος, τὴν ἑνοειδῆ καὶ κρύφιον τοῦ ἑνὸς ὄντος αἰτίαν· τετράδα δὲ ζαθέην, τὴν τοῦ νοητοῦ πλήθους ἔκφασιν, ἣν ἡ διὰς ἐξέφηνεν, ἡ μέση τῆς μονάδος καὶ τετράδος· δεκάδα δὲ, αὐτὸν τὸν κόσμον τὸν πάντων δεχόμενον τῶν θείων ἀριθμῶν εἰκόνας, ἄνωθεν εἰς αὐτὸν ἐκδοθείσας.

## Ex Sexto philosopho.

Καθόλου μὲν οὖν οἱ ἀπὸ τῶν μαθημάτων Πυθαγορικοὶ μεγάλην ἀπονέμουσι δύναμιν τοῖς ἀριθμοῖς, ὡς τῆς τῶν ὅλων φύσεως κατ᾽ αὐτοὺς διοικουμένης. ὅθεν καὶ ἀεί ποτε ἐπεφώνουν τὸ,

--ἀριθμῷ δέ τε πάντ᾽ ἐπέοικεν.

ὀμνύοντες οὐ μόνον τὸν ἀριθμὸν, ἀλλὰ καὶ τὸν ὑποδείξαντα αὐτοῖς τοῦτον, Πυθαγόραν, ὡς θεὸν, διὰ τὴν ἀριθμητικὴν δύναμιν· λέγοντες,

Οὐ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάου φύσεως ῥιζώματ᾽ ἔχουσαν.

Τετρακτὺς δὲ προσηγορεύετο παρ᾽ αὐτοῖς ὁ ἐκ τῶν πρώτων ἀριθμῶν συγκείμενος τέταρτος ἀριθμός. ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέσσαρα, δέκα γίνεται· ὅς ἐστι τελειότατος ἀριθμός.

ἐπειδὰν ἐπ' αὐτὸν φθάσαντες, πάλιν ἀναλυόμεθα ἐπὶ τὴν μονάδα, καὶ ἐξ ὑπαρχῆς ποιούμεθα τὰς ἀριθμήσεις. Πηγὴν τε ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν εἰρήκασιν αὐτὸν, διὰ τὸ κατ' αὐτοὺς ἐν αὐτῷ τὸν λόγον τῆς ἁπάντων κεῖσθαι συστάσεως.

*Afferuntur illa duo carmina iurisiurandi Pythagorici & à Plutarcho. Sciendum est autem, & inter Pythagoræ carmina quæ aurea uocantur (quæ paulo ante habes) prius extare, unà cum posterioris priore duntaxat parte. Ibi enim in his uerbis,* Παγὰν ἀενάου φύσεως, *clauditur sententia: at carmen ipsum clauditur his uerbis,* ἀλλ' ἔρχευ ἐπ' ἔργον, *quæ iunguntur proximè sequentibus.*

## Ex Diogene Laertio.

Φησὶ δὲ Ἡρακλείδης ὁ τοῦ Σαραπίωνος ἐν τῇ Σωτίωνος ἐπιτομῇ γεγραφέναι αὐτὸν [τὸν Πυθαγόραν] καὶ περὶ τοῦ ὅλου ἐν ἔπεσι δεύτερον τὸν ἱερὸν λόγον οὗ ἡ ἀρχή,

Ὦ νέοι ἀλλὰ σέβεσθε μεθ' ἡσυχίας τάδε πάντα.

## Ex Sexto philosopho.

Ἔνθεν καὶ παρῄνουν οὗτοι οἱ φιλόσοφοι ἀπέχεσθαι τῶν ἐμψύχων· καὶ ἀσεβεῖν ἔφασκον τοὺς ἀνθρώπους,

Βωμὸν ἐρεύθοντας μακάρων θερμοῖσι φόνοισι.

*Etiam sequentes duo uersus esse Pythagoræ seu Pythagoreorum creduntur: quanuis priorem quidam Orpheo, quidam Empedocli adscribant.*

Δειλοὶ πάνδειλοι κυάμων ἄπο χεῖρας ἔχεσθε.
Ἴσόν τοι κυάμους φαγέειν κεφαλάς τε τοκήων.



*Quæ sequuntur Pythagoræ carmina, inter ea reperies quæ aurea vocantur. Ideo autem hîc quoque ponere hæc paucula placuit, vt & doctam eorũ explicationem acciperes, & cætera quoque quibus permixta sunt, minimè suspecta haberes.*

## Ex Proclo.

Καὶ τοῦτο ἄρα ἦν ὃ καὶ εἰς τὸν ἀριθμὸν Πυθαγόρειος ὕμνος ἔλεγεν· ὅτι πρόεισι μὲν Μουνάδος ἐκ κευθμῶνος ἔστ' ἂν ἵκηται Τετράδ' ἐπὶ ζαθέην, ἣ τίκτει δὲ αὐτὴ τὴν δεκάδα μητέρα πάντων οὖσαν. Οὕτω δὴ καὶ αὐτὴν τὴν τετρακτὴν

Παγὰν ἀενάου φύσεως

ὕμνησεν ὁ τῶν χρυσῶν ἐπῶν πατήρ.

## Ex Plutarcho.

Καλῶς δ' οἱ Πυθαγόρειοι παρεκελεύσαντο, λέγοντες,

Ὅσσα δὲ δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, ταύτην ἔχε, μηδ' ἀγανάκτει.

Ἀνδρῶν γὰρ ἐστὶν ἐναρέτων τε καὶ σοφῶν, Ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

## Ex eodem.

Νοσῶν τε ὁ ἄθεος ἐκλογίζεται καὶ ἀναμιμνήσκεται πλησμονὰς αὐτοῦ καὶ οἰνώσεις, καὶ ἀταξίας περὶ δίαιταν, ἢ κόπους ὑπερβάλλοντας, ἢ μεταβολὰς ἀέρων ἀήθεις καὶ ἀτόπους· ἔπειτα προσκρούσας ἐν πολιτείαις, καὶ περιπεσὼν ἀδοξίαις πρὸς ὄχλον, ἢ διαβολαῖς πρὸς ἡγεμόνα, τὴν αἰτίαν

Ἐξ αὐτοῦ καὶ τὴν περὶ αὐτὸν ἀνασκοπεῖ,

Πῆ παρέβην; τί δ᾽ ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

## Ex Clemente Alex.

Φημὶ δ᾽ οὖν ἔπαινον ἢ ψόγον, ἢ ἐπαίνῳ τὸ ἐοικὸς καὶ ψόγῳ, μάλιστα πάντων τοῖς ἀνθρώποις ἀναγκαιότατα φάρμακα. οἱ μὲν οὖν δυσίατοι, καθάπερ ὁ σίδηρος πρὸς τοῦ πυρὸς καὶ σφύρας καὶ ἄκμονος, τουτέστιν ἀπειλῆς, ἐλέγχου, ἐπιτιμήσεως ἐλαύνονται· οἱ δὲ αὐτῇ προσέχοντες τῇ πίστει, οἷ αὐτοδίδακτοι καὶ προαιρετικοί, αὔξονται τῷ ἐπαίνῳ. Ἀρετὰ γὰρ ἐπαινεομένα δένδρον ὣς ἀέξεται. καί μοι δοκεῖ συνεὶς τοῦτο ὁ Σάμιος παραγγέλλειν Πυθαγόρας,

Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δέ, τέρπου.

Τὸ δὲ ἐπιπλήσσειν, καὶ νουθετεῖν καλεῖται. τὸ δὲ ἐτυμολογεῖται ἡ νουθέτησις, νοῦ ἐνθεματισμός· ὡς εἶναι τὸ ἐπιπληκτικὸν εἶδος, νοῦ περιποιητικόν.

*Visum est autem subiungere & paraphrasin pulcherrimam, seu interpretationem paraphrasticam, versus proximè precedentis, & cæterorum quatuor, qui totam sententiam conficiunt: horum videlicet,*

Μηδ᾽ ὕπνον μαλακοῖσιν ἐπ᾽ ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.
Πῆ παρέβην; τί δ᾽ ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ᾽ ἀπὸ πρώτου, ἐπέξιθι· καὶ μετέπειτα
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δέ, τέρπου.

*Ita enim hæc paraphrasticè interpretatus est is cuius extant de viro bono versus in calce illius ipsius idyllij quod de eo scripsit,*

*Nec prius in dulcem declinat lumina somnum,*
*Omnia quàm longi reputauerit acta diei:*
*Quæ prætergressus: quid gestum in tempore, quid non.*



*Cur isti facto decus abfuit, aut ratio illi?*
*Quid mihi præteritum? cur hæc sententia sedit,*
*Quam melius mutare fuit? miseratus egentem,*
*Cur aliquem fracta persensi mente dolorem?*
*Quid volui quod nolle bonum foret? vtile honesto*
*Cur malus antetuli? num dicto aut denique vultu*
*Perstrictus quisquam? cur me natura magis quàm*
*Disciplina trahit? sic dicta & facta per omnia*
*Ingrediens, ortòque à vespere cuncta reuoluens,*
*Offensus prauis, dat palmam & præmia rectis.*

*Cicero quoque in suo de senectute libello ad hunc locum respiciens, Catonem ita loquentem inducit, Pythagoreorúmque more, exercendæ memoriæ gratia, quid quoque die dixerim, audierim, egerim, commemoro vesperi.*

*Necnon Horatius huc respexit, in his versibus satyræ 4. prioris libri,*

*--neque enim quum lectulus aut me*
*Porticus excepit, desum mihi. rectius hoc est:*
*Hoc faciens, viuam melius: sic dulcis amicis*
*Occurram. &c.*

# ΚΛΕΑΝΘΟΥΣ

## ἸΑΜΒΕΙ͂Α.

# CLEANTHIS

## IAMBI.

*Addendi aliis eius versibus quos habes suprà.*

### Ex Stobæo.

Κακουργότερον οὐδὲν διαβολῆς ἐστί πω.
Λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον,
Μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

### Ex eodem.

Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος,
Οὗτος ποιήσει τοῦτ', ἐὰν καιρὸν λάβῃ.

### Ex eodem, ibidem.

Πόθεν ποτ' ἄρα γίνεται μοιχῶν γένος;
Ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις.

*Eiusdem philosophi versus pulcherrimi è Græcis Latini facti à Seneca extãt apud eum in fine libri* XVIII *epistolarum. vbi scribit,*

*Quare impigri atque alacres excipiamus imperia, nec deseramus hunc operis pulcherrimi cursum, cui quicquid patimur intextum est: & sic alloquamur Iouem, cuius gubernaculo moles ista dirigitur, quem Cleanthes noster versibus disertissimis alloquitur: quos mihi in nostrum sermonem mutare permittitur, Ciceronis viri disertissimi exemplo. Si placuerint, boni consules: si displicuerint, scies me in hoc sequutum Ciceronis exemplum.*



*Duc me parens celsique dominator poli*
*Quocunque placuit. nulla parendi mora est:*
*Assum impiger. fac nolle: comitabor gemens,*
*Malúsque patiar quod pati licuit bono.*
*Ducunt volentem fata, nolentem trahunt.*

*Sic viuamus, sic loquamur, paratos nos inueniat atque impigros fatum. Hic est magnus animus qui se deo tradit: at contrà ille pusillus ac degener, qui obluctatur, & de ordine mundi malè existimat, & emendare mauult deos quàm se.*

### *Visum est hæc quoque eiusdem philosophi, licet soluta oratione scripta, adiicere: ex Sexto philosopho, qui nondum editus est.*

Ὁ δὲ Κλεάνθης οὕτως συνηρώτα·

Εἰ φύσις φύσεως ἐστὶ κρείττων, εἴη ἄν τις ἀρίστη φύσις· εἰ ψυχὴ ψυχῆς ἐστι κρείττων, εἴη ἄν τις ἀρίστη ψυχή· καὶ εἰ ζῶον τοίνυν κρεῖττόν ἐστι ζώου, εἴη ἄν τι κράτιστον ζῶον. οὐ γὰρ εἰς ἄπειρον ἐκπίπτειν πέφυκε τὰ τοιαῦτα. ὥσπερ οὖν οὐδὲ ἡ φύσις ἐδύνατο ἐπ' ἄπειρον αὔξεσθαι κατὰ τὸ κρεῖττον, οὔθ' ἡ ψυχὴ, οὔτε τὸ ζῶον. ἀλλὰ μὴν ζῶον ζώου κρεῖττόν ἐστιν, ὡς ἵππος χελώνης, εἰ τύχοι, καὶ ταῦρος ὄνου, καὶ λέων ταύρου. πάντων δὲ σχεδὸν τῶν ἐπιγείων ζώων καὶ σωματικῇ καὶ ψυχικῇ διαθέσει προέχει τε καὶ κρατιστεύει ὁ ἄνθρωπος. τοίνυν κράτιστον ἂν εἴη ζῶον καὶ ἄριστον. καὶ οὐ πάνυ τι ὁ ἄνθρωπος κράτιστον εἶναι δύναται ζῶον. οἷον εὐθέως ὅτι διὰ κακίας πορεύεται τὸν πάντα χρόνον· εἰ δὲ μή γε, τὸν πλεῖστον. καὶ γὰρ εἴποτε περιγένοιτο ἀρετῆς, ὀψὲ καὶ πρὸς ταῖς τοῦ βίου δυσμαῖς περιγίνεται· ἐπίκηρόν τ' ἐστὶ καὶ ἀσθενὲς, καὶ μυρίων δεόμενον βοηθημάτων, καθάπερ τροφῆς καὶ σκεπασμάτων, καὶ τῆς ἄλλης τοῦ σώματος ἐπιμελείας, πικροῦ τινος τυράννου τρόπον ἐφεστῶτος ἡμῖν, καὶ τὸν πρὸς ἡμέραν δασμὸν ἀπαιτοῦντος, καὶ, εἰ μὴ παρέχοιμεν ὥστε λούειν αὐτὸ καὶ



ἀλείφειν καὶ περιβάλλειν καὶ τρέφειν, νόσους καὶ θάνατον ἀπειλοῦντος. ὥστε οὔτε τέλειον ζῶον ὁ ἄνθρωπος, ἀτελὲς δὲ καὶ πολὺ κεχωρισμένον τοῦ τελείου. τὸ δὲ τέλειον καὶ ἄριστον, κρεῖττον μὲν ἂν ὑπάρχοι ἀνθρώπου, καὶ πάσαις ταῖς ἀρεταῖς συμπεπληρωμένον, καὶ παντὸς κακοῦ ἀνεπίδεκτον. τοῦτο δὲ οὐ διοίσει θεοῦ. ἔστιν ἄρα θεός.

# ἘΚ ΤΩ͂Ν ἩΡΑΚΛΕΊΤΟΥ ΤΟΥ͂ ἘΦΕΣΊΟΥ.

# HERACLITI EPHESII QVAEDAM.

## Ex Sexto philosopho.

Ὁ δὲ Ἡράκλειτος, ἐπεὶ πάλιν ἐδόκει δυσὶν ὠργανῶσθαι ὁ ἄνθρωπος πρὸς τὴν τῆς ἀληθείας γνῶσιν, αἰσθήσει τε καὶ λόγῳ, τούτων τὴν αἴσθησιν παραπλησίως τοῖς προειρημένοις φυσικοῖς ἄπιστον εἶναι νενόμικε, τὸν δὲ λόγον ὑποτίθεται κριτήριον. ἀλλὰ τὴν μὲν αἴσθησιν ἐλέγχει, λέγων κατὰ λέξιν,

Κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων.

Ὅπερ ἴσον ἦν, τῶν βαρβάρων ἐστὶ ψυχῶν ταῖς ἀλόγοις αἰσθήσεσι πιστεύειν. τὸν δὲ λόγον, κριτὴν τῆς ἀληθείας ἀποφαίνεται, οὐ τὸν ὁποιονδήποτε, ἀλλὰ τὸν κοινὸν καὶ θεῖον. τίς δ' ἐστὶν οὗτος, συντόμως ὑποδεικτέον. ἀρέσκει γὰρ τῷ φυσικῷ, τὸ περιέχον ἡμᾶς λογικόν τε ὂν καὶ φρενῆρες. Paucis interiectis subiungit, Τοῦτον δὴ οὖν τὸν θεῖον λόγον καθ' Ἡράκλειτον δι' ἀναπνοῆς σπάσαντες, νοεροὶ γινόμεθα· καὶ ἐν μὲν ὕπνοις ληθαῖοι, κατὰ δὲ ἔγερσιν πάλιν ἔμφρονες. ἐν γὰρ τοῖς ὕπνοις μυσάντων τῶν αἰσθητικῶν πόρων, χωρίζεται τῆς πρὸς τὸ περιέχον συμφυΐας ὁ ἐν ἡμῖν νοῦς, μόνης τῆς κατὰ ἀναπνοὴν προσφύσεως σωζομένης, οἱονεί τινος ῥίζης· χωρισθείς τε ἀποβάλλει ἣν πρότερον εἶχε μνημονικὴν δύναμιν. ἐν δὲ ἐγρηγορόσι πάλιν διὰ τῶν αἰσθητικῶν πόρων, ὥσπερ διά τινων θυ-

εἰδῶν περικύψας, καὶ τῷ περιέχοντι συμβαλὼν, λογικὴν ἐνδύεται δύναμιν.

Ille autem Heracliti locus affertur & à Stobæo, titulo περὶ ἀφροσύνης, ita scriptus, Κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώπων βαρβάρους ψυχὰς ἐχόντων.

## Ex eodem, paulo póst.

Τοῦτον δὴ τὸν κοινὸν λόγον καὶ θεῖον, καὶ οὗ κατὰ μετοχὴν γινόμεθα λογικοὶ, κριτήριον ἀληθείας φησὶν ὁ Ἡράκλειτος· ὅθεν τὸ μὲν κοινῇ πᾶσι φαινόμενον, τοῦτ᾽ εἶναι πιστόν· (τῷ κοινῷ γὰρ καὶ θείῳ λόγῳ λαμβάνεται) τὸ δέ τινι μόνῳ προσπῖπτον, ἄπιστον ὑπάρχειν, διὰ τὴν ἐναντίαν αἰτίαν. ἐναρχόμενος οὖν τῶν περὶ φύσεως ὁ προειρημένος ἀνήρ, καὶ τρόπον τινὰ δεικνὺς τὸ περιέχον, φησὶ,

Λόγου τοῦ δέοντος ἀξύνετοι γίνονται ἄνθρωποι, καὶ πρόσθεν ἢ ἀκοῦσαι, καὶ ἀκούσαντες τὸ πρῶτον. γινομένων γὰρ κατὰ τὸν λόγον τόνδε ἄπειροι ἐοίκασι, πειρώμενοι ἐπέων καὶ ἔργων τοιούτων ὁκοίων ἐγὼ διηγεῦμαι, κατὰ φύσιν διαιρέων ἕκαστον, καὶ φράζων ὅκως ἔχει. τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται.

Διὰ τούτων γὰρ ῥητῶς παραστήσας ὅτι κατὰ μετοχὴν τοῦ θείου λόγου πάντα πράττομέν τε καὶ νοοῦμεν, ὀλίγα προδιελθὼν, ἐπιφέρει,

Διὸ δεῖ ἕπεσθαι τῷ ξυνῷ. τοῦ λόγου δὲ ἐόντος ξυνοῦ, ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν. ἡ δ᾽ ἐστὶν οὐκ ἄλλο τι ἀλλ᾽ ἐξήγησις τοῦ τρόπου τῆς τοῦ παντὸς διοικήσεως. διὸ καθ᾽ ὅ, τι ἂν αὐτοῦ τῆς μνήμης κοινωνήσωμεν, ἀληθεύομεν· ἃ δὲ ἂν ἰδιάσωμεν, ψευδόμεθα.



Νῦν γὰρ ῥητότατα καὶ ἐν τούτοις τὸν κοινὸν λόγον κριτήριον ἀποφαίνεται. καὶ τὰ μὲν κοινῇ φησὶ φαινόμενα, πιστά· (ὡς ἂν τῷ κοινῷ κρινόμενα λόγῳ) τὰ δὲ κατ᾽ ἰδίαν ἑκάστῳ, ψευδῆ.

## Ex Clemente Alex.

Ὀρφέως δὲ ποιήσαντος,

Ἔστιν ὕδωρ ψυχῇ, θάνατος δ᾽ ὑδάτεσσιν ἀμοιβή·
Ἐκ δὲ ὕδατος γαῖα, τὸ δ᾽ ἐκ γαίας πάλιν ὕδωρ,
Ἐκ τοῦ δὴ ψυχὴ ὅλον αἰθέρα ἀλλάσσουσα·

Ἡράκλειτος ἐκ τούτων συνιστάμενος τοὺς λόγους, ὧδέ πως γράφει,

Ψυχῇσιν θάνατος, ὕδωρ γενέσθαι· ὕδατι δὲ θάνατος, γῆν γενέσθαι. ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή.

Proclus in Timæum Platonis mentionem eiusdem loci Heracliti facit: meminit & Philo. Cæterùm Heraclitum maximam suorum scriptorum partem ex Orpheo mutuatum esse, idem Clemens scribit, tertia ab eo loco pagina, σιωπῶ δὲ Ἡράκλειτον τὸν Ἐφέσιον, ὃς παρ᾽ Ὀρφέως τὰ πλεῖστα εἴληφεν. Et Plato in Cratylo, allatis duobus Orphei uersibus subiungit, ταῦτ᾽ οὖν σκόπει, ὅτι καὶ ἀλλήλοις συμφωνεῖ, καὶ πρὸς τὰ τοῦ Ἡρακλείτου πάντα τείνει. Præcedit autem ibi & Homericæ sententiæ mentio, necnon Hesiodeæ.

## Ex eodem.

Οὐ παραπέμπομαι καὶ τὸν Ἐμπεδοκλέα, ὃς φυσικῶς οὕτως τῆς τῶν πάντων ἀναλήψεως μέμνηται, ὡς ἐσομένης ποτὲ εἰς τὴν τοῦ πυρὸς οὐσίαν μεταβολῆς. σαφέστατα Ἡράκλειτος ὁ Ἐφέσιος ταύτης ἐστὶ τῆς δόξης· τὸν μέν τινα κόσμον, ἀΐδιον εἶναι δοκιμάσας· τὸν δέ τινα, φθειρόμενον· τὸν κατὰ τὴν δια-

κόσμησιν εἰδὼς οὐχ ἕτερον ὄντα ἐκείνου πως ἔχοντος. ἀλλ' ὅτι μὲν ἀΐδιον τὸν ἐξ ἁπάσης τῆς οὐσίας ἀϊδίως ποιὸν κόσμον ᾔδει, φανερὸν ποιεῖ, λέγων οὕτως,

Κόσμον τὸν αὐτὸν ἁπάντων οὔτέ τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν· ἀλλ' ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, πῦρ ἀείζωον, ἁπτόμενον μέτρῳ, καὶ ἀποσβεννύμενον μέτρῳ.

Ὅτι δὲ καὶ γενητὸν καὶ φθαρτὸν αὐτὸν εἶναι ἐδογμάτιζεν, μηνύει τὰ ἐπιφερόμενα,

Πυρὸς τροπαὶ πρῶτον θάλασσα· θαλάσσης δὲ τὸ μὲν ἥμισυ, γῆ· τὸ δὲ ἥμισυ, πρηστήρ.

Δυνάμει γὰρ λέγει ὅτι πῦρ ὑπὸ τοῦ διοικοῦντος λόγου καὶ θεοῦ τὰ σύμπαντα δι' ἀέρος τρέπεται εἰς ὑγρὸν, τὸ ὡς σπέρμα τῆς διακοσμήσεως, ὃ καλεῖ θάλασσαν. ἐκ δὲ τούτου αὖθις γίνεται γῆ καὶ οὐρανὸς, καὶ τὰ ἐμπεριεχόμενα. ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται, σαφῶς διὰ τούτων δηλοῖ,

Θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ. ὁμοίως καὶ περὶ τῶν ἄλλων στοιχείων τὰ αὐτά.

## Ex eodem.

Σὺ δὲ ἀλλ' εἰ μὴ προφήτιδος ἐπακούεις, τοῦ γε σοῦ ἄκουσον φιλοσόφου, τοῦ Ἐφεσίου Ἡρακλείτου, τὴν ἀναισθησίαν ὀνειδίζοντος τοῖς ἀγάλμασι.

Καὶ ἀγάλμασι τουτέοισιν εὔχονται, ὁκοῖον εἴ τις δόμοις λεσχηνεύοιτο.

Ἦ γὰρ οὐχὶ τερατώδεις οἱ λίθους προσστρεπόμενοι, εἶτα μέντοι καὶ πρὸ τῶν πυλῶν ἱστάντες αὐτοὺς ὡς ἐνεργεῖς;



## Ex eodem.

Οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοὶ, ὁκόσοι ἐγκυρσεύουσιν· οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι,

κατὰ τὸν γενναῖον Ἡράκλειτον. ἆρ' οὐ δοκεῖ σοι καὶ οὗτος τοὺς μὴ πιστεύοντας ψέγειν;

## Ex Clemente & Theodoreto.

Ἀληθὲς δ' οὖν ὂν πάντως, μᾶλλον ἀποδείκνυται τὸ ὑπὸ τοῦ προφήτου εἰρημένον, Ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. τοῦτο καὶ Ἡράκλειτος ὁ Ἐφέσιος τὸ λόγιον παραφράσας εἴρηκεν,

Ἐὰν μὴ ἔλπηται ἀνέλπιστον, οὐκ ἐξευρήσει, ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον.

*Ita legitur hic locus apud Clementem in uulgata editione: apud Theodoretum autem,* εἰ μὴ ἐλπίζητε τὸ ἀνέλπιστον, οὐκ ἐξευρήσετε. *Fortasse Clemens scripserat,* ἐὰν μὴ ἔλπησθε ἀνέλπιστον, οὐκ ἐξευρήσετε. *Vtitur autem & alibi Heraclitus uerbo* ἔλπεσθαι *potius quàm* τῷ ἐλπίζειν. *est enim illud magis Ionicum.*

## Ex eodem Clemente.

Ἡράκλειτος γοῦν κακίζων φαίνεται τὴν γένεσιν.

Ἐπειδὰν γενόμενοι ζώειν ἐθέλουσι, μόρους τ' ἔχειν· μᾶλλον δὲ ἀναπαύεσθαι. καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι.

## Ex eodem.

Τί δὲ οὐχὶ καὶ Ἡράκλειτος θάνατον τὴν γένεσιν καλεῖ, Πυθαγόρᾳ τε καὶ τῷ ἐν Γοργίᾳ Σωκράτει ἐμφερῶς; ἐν οἷς φησι,

Θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομεν· ὁκόσα δὲ εὕδοντες, ὕπνος.

## Ex Clemente & Theodoreto.

Ἀξύνετοι ἀκούσαντες κωφοῖς ἐοίκασι. φάτις αὐτοῖσιν μαρτυρεῖ, παρεόντας ἀπεῖναι.

## Ex iisdem.

Μόροι μέζονες μέζονας μοίρας λαγχάνουσι.

*Apud Theodoretum perperā legitur* μόνοι *pro* μόροι *: subiungentem illum locum isti,*

Ἀρηϊφάτους οἱ θεοὶ τιμῶσι καὶ ἄνθρωποι.

## Ex Theodoreto.

Μένει τοὺς ἀποθνήσκοντας ὅσα οὐκ ἔλπονται οὐδὲ δοκέουσιν.

## Ex Diogene Laertio.

Μεγαλόφρων δὲ γέγονε [ὁ Ἡράκλειτος] παρ' ὀντιναοῦν, καὶ ὑπερόπτης. ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησί,

Πολυμαθίη νόον οὐ διδάσκει. Ἡσίοδον γὰρ ἂν ἐδίδαξε, καὶ Πυθαγόρην, αὖτίς τε Ξενοφανέα τε καὶ Ἑκαταῖον. εἶναι γὰρ ἓν τὸ σοφὸν, ἐπίστασθαι γνώμην, ἥτε οἱ ἐγκυβερνήσει πάντα διὰ πάντων.

Τόν τε Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως. ἔλεγε δὲ καί,

Ὕβριν χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν.

καί,

Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκως ὑπὲρ τείχεος.



## Ex eodem Diogene..

Καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον· ἐν οἷς φησίν,

Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀποθανεῖν πᾶσιν, καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν· οἵτινες Ἑρμόδωρον ἑωυτῶν ὀνήϊστον ἐξέβαλον· λέγοντες, ἡμέων μηδὲ εἷς ὀνήϊστος ἔστω. εἰ δέ τις τοιοῦτος, ἄλλῃ τε καὶ μετ' ἄλλων.

*Cicero Tuscul. quæst. lib. 5, Est apud Heraclitum physicum de principe Ephesiorum Hermodoro: uniuersos ait Ephesios esse morte mulctandos, quòd quum ciuitate expellerent Hermodorum, ita loquuti sint: Nemo de nobis unus excellat: sed siquis extiterit, alio in loco & apud alios sit.*

*Affert idem Diogenes & quandam eius epistolam, quam uide infrà, inter alias quæ sub eius nomine feruntur.*

## Ex libro de allegoriis Homericis, qui sub Heraclidis Pontici nomine editus est.

Ὁ γοῦν σκοτεινὸς Ἡράκλειτος ἀσαφῆ καὶ διὰ συμβόλων εἰκάζεσθαι δυνάμενα θεολογεῖ τὰ φυσικά· δι' ὧν φησι,

Θεοὶ θνητοί τ' ἄνθρωποι, ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν.

*Apud Clementem autem legitur,* ὀρθῶς ἄρα εἶπεν Ἡράκλειτος, Ἄνθρωποι, θεοί· θεοί, ἄνθρωποι. λόγος γὰρ ωὑτός.

## Ex eodem Heraclide.

Ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν· εἶμέν τε, καὶ οὐκ εἶμεν.

*Legitur & apud Platonem in Cratylo*, λέγει που Ἡράκλειτος ὅτι πάντα χωρεῖ, καὶ οὐδὲν μένει. καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα, λέγει ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. *Scribit item Plutarchus*, περὶ τοῦ εἶ τοῦ ἐν Δελφοῖς, *pag. 698 meæ editionis*, ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν.

## Ex Stobæo, titulo περὶ φρονήσεως.

Ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ἢ γὰρ θεὸς, ἢ θηρίον. ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον.

Κρύπτειν ἀμαθίην κρέσσον, ἢ ἐς τὸ μέσον φέρειν.
*Plutarchus quoque affert cum alibi, tum* ἐν τῷ περὶ τοῦ ἀκούειν, *pag. 75. meæ editionis*, τάχα μὲν γὰρ οὐδὲ ἀμαθίαν κρύπτειν ἄμεινον (ὥς φησιν Ἡράκλειτος) ἀλλ᾽ εἰς μέσον τιθέναι καὶ θεραπεύειν.

## Ex eodem Stobæo ibidem.

Ἀνθρώποις γίνεσθαι ὁκόσα θέλουσιν, οὐκ ἄμεινον.

## Ibidem.

Νοῦσος ὑγείαν ἐποίησεν ἡδὺ καὶ ἀγαθόν· λιμὸς κόρον, κάματος ἀνάπαυσιν.

Σωφρονεῖν ἀρετὴ μεγίστη· καὶ σοφίη, ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας. ξυνόν ἐστι πᾶσι τὸ φρονεῖν, ξὺν νόῳ λέγοντας. ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πόλις ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπινοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου. κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει, καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται.



## Ex titulo περὶ ἀφροσύνης.

Κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώπων, ψυχὰς βαρβάρους ἐχόντων.
*Hunc locum paulo aliter scriptum habuisti suprà ex Sexto philosopho.*

## Ex titulo περὶ σωφροσύνης.

Ἀνθρώποισι πᾶσι μέτεστι γιγνώσκειν ἑαυτοὺς, καὶ σωφρονεῖν.

Ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων. αὔη ψυχὴ, σοφωτάτη καὶ ἀρίστη.

## Ex Plutarcho.

Πυρὸς θάνατος, ἀέρι γένεσις· καὶ ἀέρος θάνατος, ὕδατι γένεσις.
*Sic suprà habuisti ex eodem Physico*, ψυχῇσιν θάνατος, ὕδωρ γενέσθαι· ὕδατι δὲ θάνατος, γῆν γενέσθαι.

## Ex eodem.

Ταὐτό τ᾽ ἔνι ζῶν καὶ τεθνηκὸς, καὶ τὸ ἐγρηγορὸς καὶ τὸ καθεῦδον, καὶ νέον καὶ γηραιόν. τάδε γὰρ μεταπεσόντα, ἐκεῖνά ἐστι· κἀκεῖνα πάλιν μεταπεσόντα, ταῦτα.

## Ex eodem.

Παλίντονος ἁρμονίη κόσμου, ὅκως λύρης καὶ τόξου.
*Affertur à Plutarcho in libello de Iside & Osiride pag. 657, meæ editionis. Et rursus in opusculo* περὶ τῆς ἐν Τι-

μαίῳ ψυχογονίας: ubi scribit, καὶ ἁρμονία καὶ λόγος ἄγων πειθοῖ μεμιγμένην ἀνάγκην, ἣν εἱμαρμένην οἱ πολλοὶ καλοῦσιν· Ἐμπεδοκλῆς δὲ, φιλίαν ὁμοῦ καὶ νεῖκος· Ἡράκλειτος δὲ, παλίντροπον ἁρμονίην κόσμου, ὅκωσπερ λύρης καὶ τόξου. **Idem aliquanto post,** Ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων, καθ' Ἡράκλειτον· ἐν ᾗ τὰς διαφορὰς καὶ τὰς ἑτερότητας ὁ μιγνύων θεὸς ἔκρυψε καὶ κατέδυσεν.

## Ex eodem.

Σίβυλλα μαινομένῳ στόματι ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη, χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν.

## Ex eodem.

Ὁ ἄναξ οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει, οὔτε κρύπτει, ἀλλὰ σημαίνει.

## Ex eodem.

Ἡλίου μὴ ὄντος, ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνην ἂν ἤγομεν.

## Ex eodem.

Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι.

*Affertur à Plutarcho hic locus Heracliti, in libello* πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν, *& in opusculo* περὶ τοῦ ἀκούειν: *sed utrobique perperam scriptus est in editionibus quæ meam præcesserunt. nam priore loco pro* ἐπτοῆσθαι *(quod mea ex uet. cod. autoritate habet) legitur* πεποιῆσθαι. *In altero loco pro illo* ἐπτοῆσθαι *habent* παιδεύεσθαι. *ubi scribit Plutarchus,* δεῖται γὰρ μὲν οὐδ' αὐτὸ μικρᾶς εὐλαβείας, τάχα δὲ καὶ μείζονος· ὅσῳ οἱ μὲν καταφρονητικοὶ καὶ θρασεῖς



ἧττον ὠφελοῦνται ὑπὸ τῶν λεγόντων, οἱ δὲ θαυμαστικοὶ καὶ ἄκακοι μᾶλλον βλάπτονται· καὶ τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσιν, εἰπόντα, Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ. *In altero autem loco hæc sunt eius uerba,* ὁ γὰρ οὕτως ἀπαντῶν καὶ ἀντερείδων, καὶ μὴ παντὶ λόγῳ πλάγιον, ὥσπερ πνεύματι, παραδιδοὺς ἑαυτὸν, ἀλλ' ὀρθῶς ἔχειν νομίζων τὸ, Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι, πολλὰ διακρούσεται τῶν οὐκ ἀληθῶς οὐδὲ ὠφελίμως λεγομένων. *Quæ Plutarhi in utróque loco uerba illam ueterum exemplarium lectionem comprobant.*

## Ex eodem.

Κύνες γὰρ καὶ βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι.

### Idem Plutarchus in lib. περὶ τῶν ἐκλελοιπότων χρηστηρίων.

Ἅμα δὲ ἄν τις οὐκ ἀλόγως καὶ ξηρότητα φαίη μετὰ τῆς θερμότητος ἐγγινομένην, λεπτύνειν τὸ πνεῦμα, καὶ ποιεῖν αἰθερῶδες καὶ καθαρόν. Αὕτη γὰρ ξηρὰ ψυχὴ, καθ' Ἡράκλειτον. *Apud eundem in priore* περὶ σαρκοφαγίας *libello legitur* αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη. *Sed genuina scriptura esse uidetur,* αὔη ψυχὴ, σοφωτάτη: *ut ex Stobæo attuli suprá. Ac suspicor illud* αὐγὴ *irrepsisse pro* αὔη: *quod aliquis exposuerit illa uoce* ξηρή. *unde orta sit illa lectio. Scio alioqui afferri ex eodem philosopho,* ὅκου γῆ ξηρὴ, ψυχὴ σοφωτάτη.

### Idem in lib. περὶ δεισιδαιμονίας.

Ὁ Ἡράκλειτός φησι τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι, τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀποστρέφεσθαι.

### Idem in lib. περὶ Ἴσιδος καὶ Ὀσίριδος.

Ἡράκλειτος μὲν γὰρ ἄντικρυς πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον πάντων. καὶ τὸν μὲν Ὅμηρον, εὐχόμενον ἔκ τε θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι, λανθάνειν φησὶ τῇ

πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων· ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους· εἰ δὲ μή, γλώττας μιν δίκης ἐπικούρους ἐξευρήσειν.

**Idem in lib. πότερα τῶν ζώων φρονιμώτερα.**

Ἐπεὶ τό γε μὴ παντάπασι καθαρεύειν ἀδικίας τὸν ἄνθρωπον οὕτω τὰ ζῶα μεταχειριζόμενον, Ἐμπεδοκλῆς καὶ Ἡράκλειτος ὡς ἀληθὲς προσδέχονται, πολλάκις ὀδυρόμενοι καὶ λοιδοροῦντες τὴν φύσιν, ὡς ἀνάγκην καὶ πόλεμον οὖσαν, ἀμιγὲς δὲ μηδὲν μηδὲ εἰλικρινὲς ἔχουσαν, ἀλλὰ διὰ πολλῶν καὶ ἀδίκων παθῶν περαινομένην. ὅπου καὶ τὴν γένεσιν αὐτῆς ἐξ ἀδικίας συντυγχάνειν λέγουσι, τῷ θνητῷ συνερχομένου τοῦ ἀθανάτου, καὶ τέρπεσθαι τὸ γενόμενον παρὰ φύσιν μέλεσι τοῦ γεννήσαντος ἀποσπωμένοις.

# ἩΡΑΚΛΕΙ'ΤΟΥ ΤΟΥ͂ ἘΦΕΣΙ'ΟΥ Ἐ'ΠΙΣΤΟΛΑΙ'.

# HERACLITI EPHESII EPISTOLAE.

## ἩΡΆΚΛΕΙΤΟΣ ἙΡΜΟΔΏΡΩι.

Ἤδη μηκέτι τοῖς ἑαυτοῦ χαλέπαινε Ἑρμόδωρε. Εὐθυκλῆς ὁ Νικοφῶντος, τοῦ συλήσαντος τὴν θεὸν, ἀσεβείας με γέγραπται, ἄνδρα σοφίᾳ προὔχοντα ἀπαιδευσίᾳ νικῶν· ὡς ὅτι ἐπέγραψα τῷ βωμῷ οὗ ἐπέστησα, τὸ ἐμὸν ὄνομα, θεοποιῶν ἄνθρωπον ὄντα ἐμαυτόν. εἶτα κριθήσομαι ὑπὸ ἀσεβοῦς ἐν ἀσεβέσι; τί οἴει; δόξω αὐτοῖς ἀσεβὴς εἶναι, ἐναντία φρονῶν οἷς αὐτοὶ περὶ θεῶν νομίζουσιν; εἰ καὶ πεπηρωμένην ἔκρινον ὄψιν, τυφλότητα ἂν ἔλεγον τὴν ὅρασιν. ἀλλ' ὦ ἀμαθεῖς ἄνθρωποι διδάξατε πρῶτον ἡμᾶς τί ἐστιν ὁ θεός· ἵνα ἀσεβεῖς λέγοντες πιστεύησθε. ποῦ δέ ἐστιν ὁ θεός; ἐν τοῖς ναοῖς ἀποκεκλεισμένος; εὐσεβεῖς γε, οἳ ἐν σκότει τὸν θεὸν ἱδρύετε. ἄνθρωπος λοιδορίαν ποιεῖται, λίθινος εἰ λέγοιτο· θεὸς δὲ ἀληθεύεται, ὡς τοῦτο τὸ εὐώνυμον ἐκ κρημνῶν γίνεται. ἀπαίδευτοι, οὐκ ἴστε ὅτι οὐκ ἔστι θεὸς χειρότμητος, οὐδὲ ἐξ ἀρχῆς βάσιν ἔχει, οὐδὲ ἔχει ἕνα περίβολον· ἀλλ' ὅλος ὁ κόσμος αὐτῷ ναός ἐστι, ζώοις καὶ φυτοῖς καὶ ἄστροις πεποικιλμένος. Ἡρακλεῖ ἐπέγραψα τῷ



Ἐφεσίῳ τὸν βωμὸν, πολιτογραφῶν ὑμῖν τὸν θεὸν, οὐχ Ἡρακλείτῳ. ἂν δὲ ὑμεῖς ἀξυνετῆτε γράμματα, οὐκ ἐμὴ ἀσέβεια, τὸ ὑμέτερον ἀπαίδευτον. μανθάνετε σοφίην, καὶ συνίετε. ἀλλ' οὐ θέλετε. οὐδ' ἐγὼ ἀναγκάζω· γηρᾶτε σὺν ἀπαιδευσίᾳ, χαίροντες ἰδίοις κακοῖς. Ἡρακλῆς δὲ οὐκ ἄνθρωπος ἐγεγόνει; ὡς μὲν Ὅμηρος ἐψεύσατο, καὶ ξενοκτόνος. ἀλλὰ τί αὐτὸν ἐθεοποίησεν; ἡ ἰδία καλοκαγαθία, καὶ ἔργων τὰ γενναιότατα, τοσούτους ἐκτελέσαντα ἄθλους. ἐγὼ οὖν, ὦ ἄνθρωποι, οὐκ αὐτὸς ἀγαθός εἰμι; ἥμαρτον ἐρόμενος ὑμᾶς. καὶ γὰρ εἰ τὰ ἐναντία ἀπεκρίνασθε, ὅμως ἀγαθός εἰμι· καὶ ἔμοιγε πολλοὶ καὶ δυσχερέστατοι ἆθλοι κατόρθωνται. νενίκηκα ἡδονάς, νενίκηκα χρήματα, νενίκηκα φιλοτιμίαν· κατεπάλαισα δειλίαν, κατεπάλαισα κολακείαν. οὐκ ἀντιλέγει μοι φόβος, οὐκ ἀντιλέγει μοι μέθη· φοβεῖταί με λύπη, φοβεῖταί με ὀργή. κατὰ τούτων αὐτῶν καὶ αὐτὸς ἐστεφάνωμαι, ἐμαυτῷ ἐπιτάττων, οὐχ ὑπ' Εὐρυσθέως. οὐ παύσεσθε σοφίαν ὑβρίζοντες, καὶ ἴδια ἁμαρτήματα καὶ ἴδια ἐγκλήματα ἡμῖν προστριβόμενοι; εἰ ἐδύνασθε μετ' ἐνιαυτοὺς ἐκ παλιγγενεσίας πεντακοσίους ἀναβιῶναι, κατελάβετε ἂν Ἡράκλειτον ἔτι ζῶντα. ὑμῶν δὲ οὐδ' ἴχνος ὀνόματος. ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν, οὐδέποτε σιγώμενος. κἂν ἡ Ἐφεσίων ἀναρπασθῇ πόλις, καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, αἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χωρία μνήμης.

ἄξομαι καὶ αὐτὸς γυναῖκα Ἥβην, οὐ τὴν Ἡρακλέους· ἐκεῖνος ἀεὶ ἔσται μετὰ τῆς ἑαυτοῦ· ἑτέραν δ' ἡμῖν γεννήσεται. πολλὰς ἀρετὴ γεννᾷ· καὶ Ὁμήρῳ ἔδωκεν ἄλλην, καὶ Ἡσιόδῳ ἄλλην· καὶ ὅσοι ἀγαθοὶ γίνονται, ἑνὶ ἑκάστῳ συνοικίζει παιδείας κλέος. ἆρ' οὐκ εἰμὶ εὐσεβὴς, Εὐθύκλεις, ὃς μόνος οἶδα θεόν; σὺ δὲ καὶ θρασὺς, εἶναι οἰόμενος· καὶ ἀσεβὴς, τὸν μὴ ὄντα δοκῶν. ἐὰν δὲ μὴ ἱδρυθῇ θεοῦ βωμὸς, οὐκ ἔστι θεός; ἐὰν δὲ ἱδρυθῇ μὴ θεοῦ, θεός ἐστιν; ὥστε λίθοι, θεῶν μάρτυρες. ἔργα δεῖ μαρτυρεῖν, οἷα ἡλίου. νὺξ αὐτῷ καὶ ἡμέρα μαρτυροῦσιν· ὧραι αὐτῷ μάρτυρες, γῆ ὅλη καρποφοροῦσα, μάρτυς· σελήνης ὁ κύκλος, ἐκείνου ἔργον, οὐράνιος μαρτυρία.

## ΗΡΑΚΛΕΙΤΟΣ ΑΜΦΙ-δάμαντι.

Νοσοῦμεν, Ἀμφιδάμα, νόσον ὕδρωπα· ὥστε ὅσα ἐν ἡμῖν, ἑκάστου τὸ κράτος νόσημα. ὑπερβολὴ θερμοῦ, πυρετός· ὑπερβολὴ ψυχροῦ, παράλυσις· ὑπερβολὴ πνεύματος, πνῖγος, ἡ νῦν ἐμὴ ὑγρὰ νόσος. ἀλλὰ θεῖόν τι ψυχὴ ἡ ἁρμόζουσα αὐτά. ὑγεία ἐστὶ τὸ πρῶτον, ἰατρικώτατον, φύσις. οὐ γὰρ εἰκάζει. ἡ πρώτη ἀπειρία τὸ παρ' αὐτὴν, ἀλλὰ ὕστερον ἄλλα μιμούμενοι οἱ ἄνθρωποι ἐπιστήμας καὶ ἀγνοίας ἐκάλεσαν. ἐγὼ εἰ οἶδα κόσμου φύσιν, οἶδα καὶ ἀνθρώπου· οἶδα νόσους, οἶδα ὑγείαν· ἰάσομαι ἐμαυτόν. μιμήσομαι θεὸν, ὃς κόσμου ἀμετρίας

ἐπανισοῖ



ἐπανισοῖ ἡλίῳ ἐπιτάττων. οὐχ ἁλώσεται νόσῳ Ἡράκλειτος, νόσος Ἡρακλείτου ἁλώσεται γνώμῃ· καὶ ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται, θερμὰ ψύχεται. οἶδεν ἐμὴ σοφία ὁδοὺς φύσεως, οἶδε καὶ νόσου παῦλαν. ἐὰν δὲ φθάσαν ὑπέραντλον γένηται τὸ σῶμα, δύσεται εἰς τὸ εἱμαρμένον. ἀλλὰ οὐ ψυχὴ δύσεται· ἀλλὰ, ἀθάνατον οὖσα χρῆμα, εἰς οὐρανὸν ἀναπτήσεται μετάρσιος. δέξονται δέ με αἰθέριοι δόμοι, καὶ Ἐφεσίοις συκοφαντήσω. πολιτεύσομαι οὐκ ἐν ἀνθρώποις, ἀλλ' ἐν θεοῖς. καὶ οὐχ ἱδρύσω ἄλλων βωμοὺς, ἀλλ' ἐμοὶ ἄλλοι· οὐδὲ ἀπειλήσει μοι ἀσέβειαν Εὐθυκλῆς, ἀλλ' ἐγὼ ἐκείνῳ χολήν. θαυμάζουσι πῶς ἀεὶ σκυθρωπὸς Ἡράκλειτος, οὐ θαυμάζουσι πῶς ἀεὶ πονηροὶ ἄνθρωποι. μικρὰ τῆς κακίας ὑπανεῖτε, κἀγὼ τάχα μειδιάσω. καίτοι πρᾳότερος ἐν τῇ νόσῳ νῦν ἐγενόμην, ὅτι οὐκ ἐντυγχάνω ἀνθρώποις, ἀλλὰ μόνος νοσῶ. τάχα καὶ ψυχὴ μαντεύεται ἀπόλυσιν ἑαυτῆς ἤδη ποτὲ ἐκ τοῦ δεσμωτηρίου τούτου· καὶ σφομένου τοῦ σώματος ἐκκύπτουσα, ἀναμιμνήσκεται τὰ πάτρια χωρία, ἔνθεν κατελθοῦσα περιεβάλλετο ῥέον σῶμα τεθνειὸς τοῦτο, ὃ δοκεῖ τοῖς ἄλλοις ἐν φλέγμασι καὶ χολῇ καὶ ἰχῶρι καὶ αἵματι καὶ νεύροις καὶ ὀστοῖς καὶ σάρκεσι πεπλημμένον. εἰ γὰρ μὴ τὰ πάθη ἐσόφιζε τὴν κόλασιν, οὐκ ἂν ἤδη πρόπαλαι καταλιπόντες τὸ σῶμα, ἐξήλθομεν ἀπ' αὐτοῦ.

### Τῷ αὐτῷ.

Συνῆλθον οἱ ἰατροί, Ἀμφιδάμα, καὶ πάνυ προθύμως γε ἐπὶ τὴν ἐμὴν νόσον, οὔτε τέχνην οὔτε φύσιν εἰδότες. ἀλλὰ τὸ μὲν οὐδὲ ἐβούλοντο, τὸ δὲ ἐδόκουν· ἄμφω δὲ ἠγνόουν. οὐδὲν πλέον ἢ κατεμάλαξαν μου τὴν γαστέρα ταῖς ἀφαῖς, ὡς ἀσκόν. οἱ δὲ καὶ θεραπεύειν ἤθελον· ἀλλ' οὐκ ἐπέτρεψα. ἀλλὰ λόγον αὐτοῖς πρότερον ᾔτουν τῆς νόσου, καὶ οὐκ ἔδοσαν· οὐδὲ περιεγένοντό μου, ἀλλ' ἐγὼ αὐτῶν. πῶς ἂν οὖν (ἔφην) δύναισθε αὐληταὶ τεχνῖται εἶναι, ὑπὸ μὴ αὐλητοῦ ἡττημένοι; ἐμαυτὸν ἰάσομαι, ἢ ὑμεῖς, ἐὰν με διδάξητε πῶς ἐξ ἐπομβρίας αὐχμὸν ποιητέον. οἱ δέ, οὐδὲ συνιέντες τὸ ἐρώτημα, ἡσύχασαν, ἀπορούμενοι ἐπιστήμης ἰδίου. ἔγνων ὅτι καὶ τοῖς ἄλλοις οὐκ αὐτοὶ ἀλλὰ τύχη ἰάσαιτο. οὗτοι ἀσεβοῦσιν, Ἀμφιδάμα, καταψευδόμενοι τεχνῶν ἃς οὐκ ἔχουσι, καὶ θεραπεύοντες ἃ μὴ ἴσασι· καὶ ἀποκτιννύντες ἀνθρώπους δι' ὀνόματος τέχνης, ἀδικοῦντες καὶ φύσιν καὶ τέχνην. αἰσχρόν ἐστιν ὁμολογεῖν ἄγνοιαν· αἴσχιον, ἐπιστήμην οὐκ ἔχοντα. τί ἡδὺ αὐτοῖς τὸ ψεύδεσθαι, ἢ ἵνα δι' ἀπάτης χρηματίσωνται; ἀμείνους ἂν ἦσαν μεταιτοῦντες. ἠλεοῦντο γοῦν ἄν. νῦν δὲ μισοῦνται καὶ βλάπτοντες καὶ ψευδόμενοι. εὐτυχέστεραι αἱ ἄλλαι τέχναι, ταχέως ἐλέγχονται. δυσελεγκτότερα τὰ κρείττω. ἐλελήθεσαν με οἱ τοιοῦτοι ἐν τῇ πόλει. οὐδεὶς αὐτῶν ἰατρός· ἀλλὰ πάντες ἀπατεῶνες καὶ φένακες, σοφίσματα τέχνης ἀργυρίου πιπράσκοντες. Ἡρακλεόδωρον, τὸν ἐμὸν θεῖον, οὗτοι ἀπέκτειναν, καὶ μισθὸν ἔλαβον· οἳ οὐκ ἐδυνήθησαν ἐμῆς νόσου λόγον εἰπεῖν, οὐδὲ ἐξ ἐπομβρίας πῶς ἂν αὐχμὸς γένοιτο. οὐκ ἴσασιν ὅτι θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει, ἐπανισῶν αὐτῶν τὸ ἄμετρον· τὰ θρυπτόμενα ἑνοποιεῖ, τὰ ὀλισθήσαντα ὑποφθὰς πήζει· συνάγει τὰ σκιδνάμενα· φαιδρύνει τὰ ἀπρεπῆ· κατείργει τὰ ληφθέντα· διώκει τὰ φεύγοντα· φωτὶ μὲν ἀναλάμπει τὸ ζοφερόν, περατοῖ δὲ τὸ ἄπειρον· καὶ μορφὴν μὲν ἐπιβάλλει τοῖς ἀμόρφοις, ὄψεως δὲ ἀναπίμπλησι τὰ ἀναίσθητα. διὰ πάσης γὰρ ἔρχεται τῆς οὐσίας, πλήττων, ἁρμοζόμενος, διαλύων, πηγνύς, χέων. τὸ μὲν ξηρὸν εἰς ὑγρὸν τήκει, καὶ εἰς λύσιν αὐτὸ καθίστησι· καὶ λιβάδας μὲν ἐκθυμιᾷ, παχύνει δὲ χαλασθέντα τὸν ἀέρα· καὶ συνεχῶς τὰ μὲν ἄνωθεν διώκει, τὰ δὲ κάτωθεν ἱδρύει. ταῦτα κάμνοντος κόσμου θεραπεία. τοῦτον ἐγὼ μιμήσομαι ἐν ἐμαυτῷ, τοῖς δ' ἄλλοις χαίρειν λέγω.



### ἩΡΑΚΛΕΙΤΟΣ ἙΡΜΟΔΩΡΩ.

Πυνθάνομαι Ἐφεσίους μέλλειν εἰσηγεῖσθαι νόμον κατ' ἐμοῦ ἀνομώτατον. οὐδεὶς γὰρ νόμος ἐφ' ἑνός, ἀλλὰ κρίσις. οὐκ ἴσασιν Ἐφέσιοι ὅτι ἕτερος δικαστὴς νομοθέτου. καὶ τόδε ἄμεινον, ἐπεὶ ἀμαθέστερον πρὸς ἄδηλον τὸν μέλλοντα πράξειν. ὁ δικάζων δὲ ὁρᾷ τὸν κρινόμενον, ᾧ συνάπτεται τὸ

πάθος. ἴσασί με Ἑρμόδωρε συντεχνητεύσαντά σοι τοὺς νόμους, κἀμὲ ἐλάσαι βούλονται· ἀλλ' οὐ πρότερόν γε ἢ ἐλέγξαι αὐτούς. ἔτι ἄδικα ἐγνώκασι, τὸν μὴ γελῶντα καὶ πάντα μισανθρωποῦντα, πρὸ ἡλίου δύναντος ἐξιέναι τῆς πόλεως. τοῦτο νομοθετεῖν βουλεύονται. οὐδεὶς δ' ἐστὶν ὁ μὴ γελῶν Ἑρμόδωρε, ἢ Ἡράκλειτος· ὥστέ με ἐλαύνουσιν. ὦ ἄνθρωποι οὐ θέλετε μαθεῖν διὰ τί ἀεὶ ἀγέλαστῶ; οὐ μισῶν ἀνθρώπους, ἀλλὰ κακίαν αὐτῶν. οὕτω γράψατε τὸν νόμον· εἴ τις μισεῖ κακίαν, ἐξίτω τῆς πόλεως· καὶ πρῶτος ἔξειμι. φυγαδευθήσομαι οὐ πατρίδος, ἀλλὰ πονηρίας, ἀσμένος. μεταγράψατε τὸ διάταγμα. εἰ δὲ ὁμολογεῖτε Ἐφεσίοις κακίαν εἶναι, καὶ ὑμᾶς μισῶ, πῶς οὐκ ἂν ἐγὼ δικαιότερος νομοθέτης εἴην, τοὺς ποιήσαντας Ἡράκλειτον διὰ πονηρίαν ἀγέλαστον ἐξεῖναι τοῦ ζῆν; μᾶλλον ἢ μυρίαις ζημιοῦσθε, εἰ πλέον ἀνιᾶσθε ἀργυρίῳ κολαζόμενοι. τοῦτο ὑμῖν ἐστὶ φυγή, τοῦτο θάνατος. ἠδικήκατέ με, ἀφελόμενοι ὃ θεὸς ἔδωκε, καὶ φυγαδεύετέ με ἀδίκως. ἢ τοῦτο ὑμᾶς πρῶτον ἀγαπήσω, ὅτι μου τὸ ἥμερον ἐξεκόψατε. καὶ οὐ παύεσθε ἐπαγωνιζόμενοι νόμοις καὶ φυγαδείαις. ἐν γὰρ τῇ πόλει μένων, οὐ πεφυγάδευμαι ἀφ' ὑμῶν. τίνι συμμοιχεύω; τίνι συμμιαιφονῶ; τίνι συμμεθύω; τίνι συμφθείρομαι; οὐ φθείρω, οὐκ ἀδικῶ οὐδένα τῶν ἁπάντων. μόνος εἰμὶ ἐν τῇ πόλει· ἐρημίαν αὐτὴν πεποιήκατε διὰ κακίας. ἢ ἀγορὰ ὑμῶν Ἡράκλει-



τον ἀγαθὸν ποιεῖ; οὔκ· ἀλλὰ Ἡράκλειτος ὑμᾶς πόλιν. ἀλλ' οὐκ ἐθέλετε. ἐγὼ μὲν βούλομαι, καὶ νόμος εἰμὶ ἄλλων. εἷς ὢν οὐκ ἀρκῶ πόλιν κολάζειν. θαυμάζετε εἰ μηδέπω γελῶ; ἐγὼ ἢ τοὺς γελῶντας, ὅτι ἀδικοῦντες χαίρουσι, σκυθρωπάζειν δέον, οὐ δικαιοπραγοῦντας. δότε μοι καιρὸν γέλωτος ἐν εἰρήνῃ, ὥστε μὴ ἐπὶ τὰ δικαστήρια στρατεύεσθαι. ἐν ταῖς γλώτταις ἔχετε τὰ ὅπλα, ἀπεστερηκότες χρήματα, γυναῖκας φθείραντες, φίλοις φαρμακεύσαντες, ἱεροσυλήσαντες, προαγωγεύσαντες, ὄχλοις ὀρθέντες ἄπιστοι, τυμπανίσαντες· ἄλλος ἄλλου πλήρης κακοῦ. ταῦτα γελάσω ὁρῶν ἀνθρώπους ποιοῦντας; ἐσθῆτα καὶ χρύσεια καὶ κεφαλῆς πόνοις ἀτημελήτοις; ἢ γυναῖκα φαρμακέως ἐπηλημμένην τέκνου, ἢ μειράκια τῆς οὐσίας ἐκβεβρωμένα; ἢ πολίτην γαμετῆς ἀφῃρημένον, ἢ κόρην βίᾳ διαπαρθενευθεῖσαν ἐν παννυχίσιν; ἢ ἑταίραν οὔπω γυναῖκα, καὶ γυναικῶν ἔχουσαν πάθη; ἢ διὰ ἀσέλγειαν νεανίσκον ἕνα πόλεως ἐραστὴν ὅλης; ἢ τὰς τῶν ἐλαιῶν φθορὰς ἐν μύροις, ἢ τοὺς ἐν ξενοδείπνοις γινομένους διὰ δακτύλων πλείονας; ἢ τὰς δι' ἐδεσμάτων πολυτελείας, καὶ γαστέρας ῥεούσας; ἢ τοὺς ἐπὶ σκηνῆς ἀγωνοθετουμένους δήμοις τὰ μεγάλα δίκαια; ἀφῆσθέ μου τὴν ὄψιν ἀρετὴ χυθῆναι, ὑστέρα πονηρίας τεταγμένη. ἢ τοὺς ἀληθινοὺς ὑμῶν πολέμους γελάσω, ὅτε προφάσεις ἀδικημάτων ποιησάμενοι, καταμιαιφονεῖσθε

δύστηνοι, οἳ ἐξ ἀνθρώπων θηρία γεγονότες· αὐλοῖς καὶ μάστιξι διὰ μουσικῆς εἰς ἄμουσα πάθη παροξυνόμενοι. σίδηρος δὲ ἀρότρων καὶ γεωργίας δικαιότερον ὄργανον, σφαγῆς καὶ θανάτων ηὐτρέπισται. ὑβρίζεται δι' ὑμῶν θεός, Ἀθηνᾶ πολεμίστρια, καὶ Ἄρης ἐνυάλιος καλούμενος. φάλαγγας δὲ ἀντιστήσαντες ἄνθρωποι κατ' ἀνθρώπων, ἀλλήλων σφαγὰς ἀνέχεσθε, ὡς λειποτάκτας τοὺς μὴ μιαιφονοῦντας τιμωρούμενοι, καὶ ὡς ἀριστέας τοὺς ἐμπλεονάσαντας αἵματι τιμῶντες. λέοντες δ' οὐχ ὁπλίζονται κατ' ἀλλήλων. οὐδὲ ξίφος ἀναλαμβάνουσιν αἱ ἵπποι· οὐδὲ τεθωρακισμένον ἴδοις ἀετὸν ἐπ' ἀετόν. οὐδὲν ἄλλο ἔχει μάχης ὄργανον, ἀλλ' ἑκάστῳ τὰ μέρη καὶ ὅπλα. τοῖς μὲν κέρατα τὰ ὅπλα, τοῖς δὲ ῥύγχη, τοῖς δὲ πτερά, τοῖς δὲ τάχος. ἄλλοις μέγεθος· ἄλλοις ὀλιγότης. οἷς δὲ τάχος· οἷς δὲ νῆξις. πολλοῖς δὲ πνεῦμα. οὐδὲν ξίφος ἄλογα ποιεῖ ζῶα χαίρειν, ὁρῶντα φυλαττόμενον ἐν αὐτοῖς φύσεως νόμον. ἀλλ' οὐκ ἐν ἀνθρώποις. μᾶλλον δὲ τοῦτο πλέον ἂν εἴη παράβασις. ἐν κρείττοσι τὸ ἀβέβαιον. τέλος δὲ πολέμων τί ὑμῖν κτητὸν ἄρα; ἢ δι' ἐκεῖνο παύσετέ με κατηφείας; πόθεν· οὐχὶ δὲ πλέον ὁμοφύλων σφῶν; καὶ δενδροτομουμένη καὶ ἀναρπαζομένη πόλις, καὶ γῆρας περιπλακιζόμενον· καὶ γυναῖκες ἀπαγόμεναι, καὶ τέκνα ἐξ ἀγκαλῶν ἀποσπώμενα· καὶ θάλαμοι διαφθειρόμενοι, καὶ παρθένοι παλλακευόμεναι· καὶ μειράκια θηλυνόμενα, καὶ ἐλευ-



θεροι σιδηροδετούμενοι· καὶ ναοὶ θεῶν κατασπώμενοι, καὶ ἱερὰ δαιμόνων κατορυττόμενα· καὶ παιᾶνες ἀνοσίων ἔργων, καὶ χαριστήρια θεοῖς ἀδικίας. ταῦτα ἀγέλαστα; ἐν εἰρήνῃ πολεμεῖτε διὰ λόγων, ἐν πολέμῳ πολιτεύεσθε διὰ σιδήρου. ἁρπάζετε τὸ δίκαιον ἐν ξίφεσιν. Ἑρμόδωρος ἐλαύνεται νόμους γράφων, Ἡράκλειτος ἐλαύνεται ἀσεβείας. αἱ πόλεις ἔρημοι καλοκαγαθίας, αἱ ἐρημίαι πρὸς τὸ ἀδικεῖν. ὄχλοι τείχη ἔστησεν, ἀνθρώπων σύμβολα πονηρίας, ἀποκλείοντα τὴν βίαν ὑμῶν. οἰκίαι περιβέβληνται πᾶσιν, ἕτερα τείχη πλημμελείας. οἱ ἔνδον, πολέμιοι, ἀλλὰ πολῖται· οἱ ἐκτός, πολέμιοι, ἀλλὰ ξένοι. πάντες ἐχθροί, οὐδένες φίλοι. δύναμαι γελάσαι ἐχθροὺς ὁρῶν τοσούτους; τὸν ἀλλότριον πλοῦτον ἴδιον οἴεσθε· τὰς ἀλλοτρίας γυναῖκας ἰδίας νομίζετε· τοὺς ἐλευθέρους ἀνδραποδίζετε· τὰ ζῶντα κατεσθίετε· τοὺς νόμους παραβαίνετε, παρανομίας νομοθετεῖτε· πάντα βιάζεσθε ἃ μὴ πεφύκατε, τὰ μάλιστα δοκοῦντα ὑμῶν δικαιοσύνης εἶναι σύμβολα. οἱ νόμοι ἀδικίας εἰσὶ τεκμήριον· εἰ γὰρ μὴ ἦσαν, ἀνέδην ἂν ἐπορεύεσθε. νῦν δέ τι καὶ μικρὸν ἐπιστομίζεσθε, φόβῳ κολάσεως κατέχεσθε εἰς πᾶσαν ἀδικίαν.

## ἩΡΆΚΛΕΙΤΟΣ ἙΡΜΟΔΏΡΩ.

ΔΗλόν μοι Ἑρμόδωρε πότε ἀπαίρειν κέκρικας εἰς Ἰταλίαν. δέξαιντό σε οἱ ἐκείνης τῆς χώ-

ρας θεοὶ καὶ δαίμονες ἡδέως. ὄναρ ἐδόκουν τοῖς σοῖς νόμοις τὰ παρὰ πάσης τῆς οἰκουμένης διαδήματα προσιέναι, καὶ κατὰ τὸ ἔθος τῶν Περσῶν ἐγκλείοντας τὸ στόμα προσκυνεῖν αὐτούς· οἱ δὲ σεμνῶς πάνυ καθειστήκεσαν. προσκυνήσουσί σε Ἐφέσιοι μηκέτι ὄντα ὅταν οἱ σοὶ νόμοι πᾶσι ἐπιστατῶσι, καὶ τότε χρήσονται αὐτοῖς ἀναγκαζόμενοι. θεὸς γὰρ ἐκείνοις ἀφείλετο ἡγεμονίαν καὶ ἑαυτοὺς ἐνόμισαν ἀξίους δουλεύειν. τοῦτο μεμάθηκα καὶ ἐκ πατέρων. ὅλη Ἀσία, κτῆμα ἐγένετο βασιλέως, καὶ πάντες Ἐφέσιοι λάφυρον ἀληθῶς εἰσὶν ἐλευθερίας ἀληθοῦς τοῦ ἀρχῆν· καὶ νῦν ὡς τὸ εἰκὸς ἐπακούσονται κελευόμενοι, οἱ μὴ πεισθέντες οἰμώξονται. καὶ μέμφονται θεοὺς ἄνθρωποι ὅτι αὐτοὺς οὐ πλουτίζουσιν ἀγαθά; οὐ μέμφονται ἴδιον ἦθος ἀφροσύνης; τυφλῶν ἐστι μὴ δέξασθαι ἃ δίδωσι χρηστὰ δαίμων. σιβύλλα ἐν πολλοῖς καὶ τοῦτο ἐφράσθη, ἐξ Ἰάδος χώρης ἥξειν σοφὸν Ἰταλίησιν. εἶδέ σε πρὸ τοσούτου αἰῶνος Ἑρμόδωρε ἡ σιβύλλα ἐκείνη, καὶ τότε ἦσθα. Ἐφέσιοι δὲ οὐδὲ νῦν βούλονται ὁρᾶν ὃν διὰ θεοφορουμένης γυναικὸς ἀλήθεια ἔβλεπε. σοφὸς μεμαρτύρησαι Ἑρμόδωρε· Ἐφέσιοι δὲ ἀντιλέγουσι θεοῦ μαρτυρίᾳ. ἀποτίσονται ἑαυτῶν ὕβριν· καὶ νῦν ἀποτιννύονται, γνώμης ἀναπιμπλάντες ἡμᾶς κακῆς. οὐκ ἀφαιρούμενος πλοῦτον κολάζει θεός· ἀλλὰ καὶ μᾶλλον δίδωσι πονηροῖς, ἵν᾽ ἔχοντες δι᾽ ὧν ἁμαρτάνουσιν ἐλεγχθήσωνται, καὶ περιουσιάζοντες σκη-



νοβατῶσιν αὐτῶν τὴν μοχθηρίαν. ἡ δ᾽ ἀπορία παρακάλυμμά ἐστι. μὴ ἐπιλίπῃ ὑμᾶς τύχη, ἵνα ὀνειδίζησθε πονηρευόμενοι. οὗτοι μὲν χαιρόντων· σὺ δέ μοι δήλου τὸν καιρὸν τῆς ἐξόδου. πάντως ἐντυχεῖν σοι βούλομαι, καὶ περί γε ἄλλων πάνυ συχνῶν, καὶ περὶ αὐτῶν νόμων βραχέα εἰπεῖν. ἔγραφον δ᾽ ἂν αὐτὰ εἰ μὴ περὶ παντὸς ἐποιούμην ἀπόρρητα μεῖναι. οὐδὲν δὲ οὕτω σιωπᾶται ὡς ἐνὶ λαλῶν εἷς, καὶ ἔτι μᾶλλον Ἡράκλειτος Ἑρμοδώρῳ. πολλοὶ οὐ διαφέρουσι κεραμίων σαθρῶν, ὡς μηδὲν στέγειν δύνασθαι, ἀλλ᾽ ὑπὸ γλωσσαλγίας διαρρεῖν. Ἀθηναῖοι, ὄντες αὐτόχθονες, ἔγνωσαν φύσιν ἀνθρώπων, ὅτι γινόμενοι ἐκ γῆς ἔσθ᾽ ὅτε διερρωγότα ἔχουσι νοῦν. τούτοις ἐπᾴδουσιν φυλακὴν ἀπορρήτων διὰ μυστηρίων· ἵν᾽ ὡς φόβῳ σιγῶσιν ἀλλ᾽ οὐ κρίσει, καὶ μηκέτι χαλεπὸν ᾖ μελετῆσαι τῇ ψυχῇ σιωπᾶν.

## ΒΑΣΙΛΕΥΣ ΔΑΡΕΙΟΣ ΗΡΑΚΛΕΙΤΟΝ Ἐφέσιον, ἄνδρα σοφὸν, προσαγορεύω.

Κατεβέβλησαι λόγον περὶ φύσεως, δυσνόητόν τε καὶ δυσεξήγητον. ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν, δοκεῖ μοι δύναμίν τινα προσφέρεσθαι θεωρίας κόσμου τε τοῦ σύμπαντος, καὶ τῶν ἀπὸ τούτου συμβαινόντων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει· τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα, πρὸς ζήτησιν καὶ μάθησιν. ὥστε καὶ

τοὺς ἐπὶ πλεῖον μετεσχηκότας γραμμάτων Ἑλληνικῶν, καὶ τοὺς ἄλλους τοὺς ἀσχολουμένους περὶ τὴν τῶν μετεώρων προσοχὴν καὶ φιλομαθίαν, ἀπορεῖσθαι τῆς ἐν ὀρθῇ γνώμῃ παρά σοι δοκούσης καταγεγράφθαι διηγήσεως. βασιλεὺς οὖν Δαρεῖος Ὑστάσπου βούλεται τῆς ἀκροάσεως μεταλαβεῖν, καὶ παιδείας λογικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν, καὶ βασίλειον οἶκον. Ἕλληνες γὰρ ὡς ἐπιτοπλεῖστον ἀνεπισήμαντοι σοφοῖς ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ᾽ αὐτῶν ἐνδεικνύμενα πρὸς καλὴν ἀγωγὴν καὶ δίαιταν. παρ᾽ ἐμοὶ δὲ ὑπάρξει σοι πᾶσα μὲν προεδρία, καθ᾽ ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις, καὶ βίος εὐδόκιμος, σαῖς παραινέσεσιν.

## ΗΡΑΚΛΕΙΤΟΣ ΔΑΡΕΙΩι ΒΑσιλεῖ πατρὸς Ὑστάσπεως χαίρειν.

Ὁκόσοι τυγχάνουσιν ὄντες ἐπιχθόνιοι, τῆς μὲν ἀληθείης καὶ δικαιοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δοξοκοπίῃ προσέχουσι, κακῆς εἵνεκεν ἀνοίης. ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης, καὶ κόρον φεύγων παντὸς οἰκειούμενον φθόνου διὰ τὴν ὑπερηφανίην, οὐκ ἂν ἀφικοίμην εἰς Περσικὴν χώρην, ὀλίγοις ἀρκεόμενος κατ᾽ ἐμὴν γνώμην.



## ΒΑΣΙΛΕΥΣ ΔΑΡΕΙΟΣ Ἐφεσίοις.

Ἀνὴρ ἀγαθὸς, μέγα ἀγαθὸν πόλει· λόγοις καλοῖς καὶ νόμοις ψυχὰς ἀγαθὰς ποιεῖ, καιρίως ἄγων εἰς ἀγαθά. ὑμεῖς δὲ Ἑρμόδωρον, οὐ μόνον αὐτῶν βέλτιστον ἀλλὰ καὶ Ἰώνων πάντων, ἐξεβάλετε ἐκ πατρίδος, αἰσχρὰς αἰτίας ψυχῇ ἀγαθῇ προσάπτοντες. εἰ μὲν οὖν διεγνώκατε βασιλεῖ πολεμεῖν δεσπότῃ, ἐπιμάζεσθε. ἀποστελῶ γὰρ στρατιὰν ἣν ὑμεῖς οὐ δυνήσεσθε ἀντιτάσσεσθαι. αἰσχρὸν γὰρ βασιλεῖ μεγάλῳ μὴ ἀρκέειν φίλοις. εἰ δὲ μηδὲν τοιοῦτον ἐγχειρήσετε, κατάξατε Ἑρμόδωρον· καὶ ἀπόδοτε αὐτῷ πατρῴαν κτῆσιν, μνημονεύοντες ἃ ὑμᾶς ἐκείνου εὐνοίᾳ εὐεργέτησα, φόροις ἐλάττοσι τάξας ὧν ἐφέρετε, καὶ γῆν πολλὴν δοὺς πρὸς ἣν ἐκέκτησθε· ἣν οὐκ ἐοίκατε χάριν ὀφείλειν· οὐ γὰρ ἄν ποτε Ἑρμόδωρον φίλον βασιλέως ἐφυγαδεύσατε. ἀποστείλατε οὖν ἄνδρας τοὺς ἐροῦντας πρός με τὸ δίκαιον ὑπὲρ ὧν ἐγκαλεῖτε Ἑρμοδώρῳ. ἵν᾽ ἐὰν μὲν ἐκεῖνος ἐπιδειχθῇ κακοφρονῶν, ἐπιτιμηθῇ· ἐὰν δὲ ὑμεῖς, ἐπὶ νοῦν βέλτιον θῶμαι· καὶ εἰς τὸ λοιπὸν ἁμαρτάνειν κωλύσω εἰς ἀγαθοὺς ἄνδρας. καὶ γὰρ βασιλεῖ ὑμετέρῳ συμφέρει ταῦτα καὶ ὑμῖν.

# ἘΚ ΤΩ͂Ν ΔΗΜΟΚΡΊΤΟΥ.

# DEMOCRITI QVAEDAM.

## Ex Sexto philoſopho.

*poſtquam Heracliti ſententiam declarauit.*

Δημόκριτος δὲ ὅτι μὲν ἀναιρεῖ τὰ φαινόμενα ταῖς αἰσθήσεσι, καὶ τούτων λέγει μηδὲν φαίνεσθαι κατ᾽ ἀλήθειαν, ἀλλὰ μόνον κατὰ δόξαν, ἀληθὲς δὲ ἐν τοῖς οὖσιν ὑπάρχειν τὸ ἀτόμους εἶναι καὶ κενόν.

Νόμῳ γλυκὺ, καὶ νόμῳ πικρόν· νόμῳ θερμὸν, νόμῳ ψυχρόν· νόμῳ χροιή. αἰτίη δὲ ἄτομα καὶ κενόν. ὅπερ νομίζεται μὲν εἶναι καὶ δοξάζεται τὰ αἰσθητά· οὐκ ἔστι δὲ κατ᾽ ἀλήθειαν ταῦτα, ἀλλὰ τὰ ἄτομα μόνον καὶ τὸ κενόν.

*Eſt autem hîc reponendum* ἐτεῇ *pro* αἰτίῃ, *ut aliquanto pôſt oſtendam.*

Ἐν δὲ τοῖς κρατυντηρίοις καίπερ ὑπεσχημένος ταῖς αἰσθήσεσι τὸ κράτος τῆς πίστεως ἀναθεῖναι, οὐδὲν ἧττον εὑρίσκεται τούτων καταδικάζων. φησὶ γάρ,

Ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σώματος διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων.

Καὶ πάλιν φησί,

Τοίη μὲν νυν ὅτι οἷον ἕκαστον ἐστὶν, οὐκ ἔστιν οὐ



συνίεμεν, πολλαχῇ δεδήλωται.

Ἐν δὲ τῷ περὶ ἰδεῶν,

Γιγνώσκειν τε χρὴ ἄνθρωπον τῷδε τῷ κανόνι ὅτι αἰτίης ἀπήλλακται.

Καὶ πάλιν,

Δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος ὅτι αἰτίῃ οὐδὲν ἴσμεν περὶ οὐδενὸς, ἀλλ᾽ ἐπιρυσμίη ἑκάστοισιν ἡ δόξις.

Καὶ ἔτι,

Καίτοι δῆλον ἔσται ὅτι αἰτίῃ οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρῳ ἐστί.

Καὶ δὴ ἐν μὲν τούτοις πᾶσαν σχεδὸν κινεῖ κατάληψιν, καὶ μόνων ἐξαιρέτως καθάπτεται τῶν αἰσθήσεων. ἐν δὲ τοῖς κανόσι, δύο φησὶν εἶναι γνώσεις, τὴν μὲν, διὰ τῶν αἰσθήσεων· τὴν δὲ, διὰ τῆς διανοίας. ὧν τὴν μὲν διὰ τῆς διανοίας γνώσιν κατάγει, προσμαρτυρῶν αὐτῇ τὸ πιστὸν, εἰς ἀληθείας κρίσιν· τὴν δὲ διὰ τῶν αἰσθήσεων, σκοτίην ὀνομάζει, ἀφαιρούμενος αὐτῆς τὸ πρὸς διάγνωσιν τοῦ ἀληθοῦς ἀπλανές. λέγει δὲ κατὰ λέξιν,

Γνώμης δὲ δύο εἰσὶν ἰδέαι· ἡ μὲν, γνησίη· ἡ δὲ, σκοτίη. καὶ σκοτίης μὲν τάδε σύμπαντα· ὄψις, ἀκοὴ, ὀδμὴ, γεῦσις, ψαῦσις. ἡ δὲ γνησίη, ἀποκεκρυμμένη δὲ ταύτης.

Εἶτα προκρίνων τῆς σκοτίης τὴν γνησίην, ἐπιφέρει λέγων,

Ὅταν ἡ σκοτίη μηκέτι δύνηται μήτε ὁρῆν ἐπ᾽ ἔλαττον, μήτε ἀκούειν, μήτε ὀδμᾶσθαι, μήτε γεύεσθαι, μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι, ἀλλ᾽ ἐπὶ λεπτότερον.

Οὐκοῦν καὶ κατὰ τοῦτον ὁ λόγος ἐστὶ κριτήριον, ὃν γνησίην γνώμην καλεῖ.

## Ex eodem Sexto.

Παλαιὰ γάρ τις (ὡς προεῖπον ἄνωθεν) παρὰ τοῖς φυσικοῖς κυλίεται δόξα, περὶ τοῦ τὰ ὅμοια τῶν ὁμοίων εἶναι γνωριστικά. καὶ ταύτης ἔδοξε μὲν καὶ Δημόκριτος κεκομικέναι τὰς παραμυθίας, ἔδοξε δὲ καὶ Πλάτων αὐτῆς ἐν τῷ Τιμαίῳ παρεψαυκέναι. ἀλλ' ὁ μὲν Δημόκριτος ἐπί τε τῶν ἐμψύχων καὶ ἀψύχων ἵστησι τὸν λόγον.

Καὶ γὰρ ζῶα ὁμογένεσι ζώοις συναγελάζεται, ὡς περιστεραὶ περιστεραῖς, καὶ γέρανοι γεράνοις· καὶ ἐπὶ τῶν ἄλλων ἀλόγων. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων. καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων, καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων. ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον διακριτικῶς φακοὶ μετὰ φακῶν τάσσονται, καὶ κριθαὶ μετὰ κριθῶν, καὶ πυροὶ μετὰ πυρῶν· ὅπου δὲ κατὰ τὴν τοῦ κύματος κίνησιν αἱ μὲν ἐπιμήκεις ψηφῖδες εἰς τὸν αὐτὸν τόπον ταῖς ἐπιμήκεσιν ὠθοῦνται, αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν· ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.

Ἀλλ' ὁ μὲν Δημόκριτος οὕτως. Πλάτων δὲ ἐν τῷ Τιμαίῳ &c.

## Ex eodem.

Εἰσὶ δὲ οἱ ἀπὸ τῶν γιγνομένων κατὰ τὸν κόσμον παραδόξων ὑπονοήσαντες εἰς ἔννοιαν ἡμᾶς ἐληλυθέναι θεῶν. ἀφ' ἧς φαίνεται εἶναι δόξης καὶ ὁ Δημόκριτος,

Ὁρῶντες γὰρ τὰ ἐν τοῖς μετεώροις παθήματα οἱ παλαιοὶ τῶν ἀνθρώπων, καθάπερ βροντὰς καὶ



ἀστραπὰς, κεραυνούς τε καὶ ἄστρων συνόδους, ἡλίου τε καὶ σελήνης ἐκλείψεις, ἐδειματοῦντο, θεοὺς οἰόμενοι τούτων αἰτίους εἶναι.

## Idem Sextus.

Δημόκριτος δὲ εἴδωλα τινά φησιν ἐμπελάζειν τοῖς ἀνθρώποις· καὶ τούτων τὰ μὲν, εἶναι ἀγαθοποιά, τὰ δὲ, κακοποιά. ἔνθεν καὶ εὔχεται εὐλόγχων τυχεῖν εἰδώλων. εἶναι δὲ ταῦτα μεγάλα τε καὶ ὑπερμεγέθη· καὶ δύσφθαρτα μὲν, οὐκ ἄφθαρτα δέ· προσημαίνειν τε τὰ μέλλοντα τοῖς ἀνθρώποις, θεωρούμενα, καὶ φωνὰς ἀφιέντα.

## Ex Diogene Laertio.

Δημόκριτος δὲ τὰς ποιότητας ἐκβάλλων, ἵνα φησὶ,

Νόμῳ ψυχρὸν, νόμῳ θερμόν. αἰτίῃ δὲ τὰ ἄτομα καὶ κενόν.

Καὶ πάλιν.

Αἰτίῃ δὲ οὐδὲν ἴδμεν. ἐν βυθῷ γὰρ ἡ ἀληθηίη.

Affert illa Democriti Diogenes in Pyrrhone: ubi perperam scriptum est αἰτίῃ pro ἐτεῇ, sicut & apud Sextum, idem Democriti testimoniũ afferentem suprà. Esse autem reponendum ἐτεῇ: non solùm coniici potest ex his uerbis Sexti, ἀληθὲς δὲ ἐν τοῖς οὖσιν ὑπάρχειν τὸ ἀτόμους εἶναι καὶ κενόν: sed probari etiam ex alio eius loco, ubi scribit, προδηλοτάτη δὲ γίνεται ἡ διάκρισις ὅταν ὁ Δημόκριτος λέγῃ, Ἐτεῇ δὲ ἄτομα καὶ κενόν. ἐτεῇ μὲν γὰρ λέγει ἀντὶ τοῦ ἀληθείᾳ. κατ' ἀλήθειαν δὲ ὑφεστάναι λέγων τάς τε ἀτόμους καὶ τὸ κενὸν &c. Videturque reponendum ἐτεῇ itidem in altero loco, ubi legitur αἰτίῃ δὲ οὐδὲν ἴδμεν. Quæ uerò subiunguntur uerba, ἐν βυθῷ γὰρ ἡ ἀληθηίη, à multis scriptoribus commemorantur. Vt Græcos omittam, meminit eorum Cicero, Acad. quæst. lib. 1, editionis secundæ. ubi scribit Demo-

*critum dixisse in profundo ueritatẽ esse demersam. Idem in altera Acad. editione scribit, Naturam accusa, quæ in profundo ueritatem (ut ait Democritus) penitus abstruserit. Legimus & apud Lact. Firmianũ libro de falsa sapiẽtia tertio, Democritus, quasi in puteo quodam sic alto ut fundus sit nullus, ueritatem iacere demersam.*

## Ex Clemente Alex.

Δημόκριτος φησί που, ἐπὶ τῇ πολυμαθίᾳ σεμνυνόμενος,

Ἐγὼ δὲ τῶν κατ᾽ ἐμαυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην, ἱστορέων τὰ μήκιστα· καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον, καὶ λογίων ἀνθρώπων πλείστων ἐσήκουσα. καὶ γραμμέων συνθέσιος μετὰ ἀποδείξιος οὐδείς κώ με παρήλλαξεν, οὐδ᾽ οἱ Αἰγυπτίων καλεόμενοι Ἀρπεδονάπται. σὺν τοῖς δ᾽ ἐπὶ πᾶσιν ἐπ᾽ ἔτε᾽ ὀγδώκοντα ἐπὶ ξείνης ἐγενήθην.

## Ex eodem.

Ὁ γὰρ διὰ τῶν ποιητικῶν καὶ καταλογάδην συγγραμμάτων ἀδόμενος Ζεὺς τὴν ἔννοιαν ἐπὶ τὸν θεὸν ἀναφέρει. ἤδη δὲ ὡς εἰπεῖν ὑπ᾽ αὐγὰς ὁ Δημόκριτος, εἶναι τινὰς ὀλίγους γράφει τῶν ἀνθρώπων, οἳ δὴ ἀνατείνοντες τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες. πάντα Ζεὺς μυθέεται, καὶ πάνθ᾽ οὗτος οἶδε, καὶ διδοῖ, καὶ ἀφαιρέεται, καὶ βασιλεὺς οὗτος τῶν πάντων. *Idem scriptor alibi eundem Democriti locum ita refert*, ὅθεν οὐκ ἀπεικότως ὁ Δημόκριτος τῶν λογίων ἀνθρώπων ὀλίγους φησὶν ἀνατείναντας τὰς χεῖρας ἐνταῦθα ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες, πάντα διαμυθεῖσθαι. καὶ πάντα οὗτος οἶδεν, καὶ διδοῖ, καὶ ἀφαιρεῖται, καὶ βασιλεὺς οὗτος τῶν πάντων.





## Ex Stobæo, titulo περὶ ἀρετῆς.

Ἀνθρώποισιν ἁρμόδιον, ψυχῆς μᾶλλον ἢ σώματος ποιεῖσθαι λόγον. ψυχὴ μὲν γὰρ τελεωτάτη, σκήνεος μοχθηρίαν ὀρθοῖ· σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ, ψυχὴν οὐδέν τοι ἀμείνω τίθησι.

## Ibidem.

Ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος, καὶ βίου συμμετρίη. τὰ δὲ λείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ, καὶ μεγάλας κινήσιας ἐμποιέειν τῇ ψυχῇ. αἱ δ᾽ ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων, οὔτε εὐσταθέες εἰσίν, οὔτε εὔθυμοι. ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γνώμην, καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι· τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα, καὶ τῇ διανοίᾳ μὴ προσεδρεύοντα· τῶν δὲ ταλαιπωρεόντων τοὺς βίους θεωρέειν, ἐννοούμενον ἃ πάσχουσι κάρτα, ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθέειν τῇ ψυχῇ. ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας, καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων, καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων, ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται, καὶ ἐπιβάλλεσθαι, δι᾽ ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὃ νόμοι κωλύουσιν. διόπερ τὰ μὲν μὴ δίζεσθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεών, παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φαυ-

λότερον πρησσόντων καὶ μακαρίζειν ἑωυτὸν, ἐνθυμεύμενον ἃ πάσχουσιν, ὅκως αὐτέων βέλτιον πρήσσῃ τε καὶ διάγῃ. ταύτης γὰρ ἐχόμενος τῆς γνώμης, εὐθυμότερόν τε διάξεις, καὶ οὐκ ὀλίγας κῆρας ἐν τῷ βίῳ διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην.

Ex eodem, in titulo περὶ κακίας.

Ἔστι ῥάδιον μὲν ἐπαινεῖν ἃ μὴ χρὴ, καὶ ψέγειν· ἑκάτερον δὲ, πονηροῦ τινος ἤθεος.

Ex eodem in titulo περὶ φρονήσεως.

Σοφίη ἄθαμβος ἀξίη πάντων, τιμιωτάτη οὖσα.

Ibidem.

Ὅρος συμφορέων καὶ ἀσυμφορέων, τέρψις καὶ ἀτερψίη.

Ibidem.

Φρονήσιος ἔργον, μέλλουσαν ἀδικίην φυλάξασθαι· ἀναλγησίης δὲ, τὸ γενόμενον μὴ ἀμύνασθαι.

Ibidem.

Αἱ μεγάλαι τέρψεις, ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

Ex eodem, in titulo περὶ ἀφροσύνης.

Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ ἐπίσταται ποδηγεῖν, μηδὲ ὀχεῖν εὐπόρως.

Ibidem.

Εἴδωλα αἰσθητικὰ, καὶ κόσμῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.



Ibidem.

Λήθη τῶν οἰκείων κακῶν θρασύτητα γεννᾷ.

Ibidem.

Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς ψυχῆς κέρδεσιν· οἱ δὲ τῶν τοιῶνδε δαήμονες, τοῖς τῆς σοφίης.

Ibidem.

Τὸ χρῆζον οἶδεν ὁκόσον χρήζει· ὁ δὲ χρήζων οὐ γινώσκει.

Ibidem.

Ἀνοήμονες τὸ ζῆν ὡς στυγέοντες, ζῆν ἐθέλουσι δείματι ἀΐδεω.

Ibidem.

Ἀνοήμονες βιοῦσιν, οὐ τερπόμενοι βιοτῇ.

Ibidem.

Ἀνοήμονες νεότητος ὀρέγονται, οὐ τερπόμενοι δὲ νεότητι.

Ibidem.

Ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται· τὰ δὲ παρεόντα, καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα, ἀμαλδύνουσιν.

Ibidem.

Ἄνθρωποι τὸν θάνατον φεύγοντες, διώκουσιν.

Ibidem.

Ἀνοήμονες οὐδὲν ἀνδάνουσιν ἐν ὅλῃ τῇ βιοτῇ.

Ibidem.

Ἀνοήμονες θάνατον δεδοικότες, γηράσκειν ἐθέλουσι.

Ibidem.

Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος, οὐκ ἀσφαλέα κτήματα.

Ibidem.

Πολλοὶ πολυμαθέες νόον οὐκ ἔχουσι.

Ex titulo περὶ σωφροσύνης.

Νόμῳ, καὶ ἄρχοντι, καὶ σοφωτέρῳ εἴκειν κόσμιον.

Ibidem.

Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι, καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.

Ibidem.

Φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον.

Ibidem.

Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.

Ibidem.

Πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

Ibidem.

Σωφροσύνη τὰ τερπνὰ ἀέξει, καὶ ἡδονὴν ἐπιμείζονα ποιεῖ.

Ex titulo περὶ ἀκολασίας.

Ἔνιοι πόλεων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι.

Ibidem.

Ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν, ἢ ψυχῆς ἀδημοσύνην, ἢ ὀργίην, ἢ ἀπαιδευσίην σημαίνουσι.

Ibidem.

Ξυνουσία, ἀποπληξίη σμικρή. ἐξέσσυται γὰρ



ἄνθρωπος ἐξ ἀνθρώπου.

Ex titulo περὶ ἀνδρείας.

Ἀνδρείη τὰς ἄτας μικρὰς ἔρδει.

Ibidem.

Ἀνδρεῖος, οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων. ἔνιοι δὲ πόνων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν.

*Pag praecedente scriptum est* πόλεων, *non* πόνων.

Ibidem.

Δίκης κῦδος, γνώμης θάρσος, καὶ εὐθυμίη· ἀδικίης δὲ, δεῖμα, ξυμφορῆς τέρμα.

Ex titulo εἰς δίκαιον.

Ἀγαθὸν οὐ τὸ μὴ ἀδικέειν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν.

Ibidem.

Μοῦνοι θεοφιλέες ὅσοις ἐχθρὸν τὸ ἀδικέειν.

Ex titulo περὶ ἀδικίας, καὶ φιλαργυρίας, καὶ πλεονεξίας.

Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος, ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.

Ibidem.

Χρυσοῦ τὸν οἰόμενον νόον ἔχειν ὁ νουθετέων, τί ματαιοπονέει;

Ibidem.

Χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη. μείζονες γὰρ ὀρέξεις μείζονας ἐνδείας ποιοῦσι.

Ibidem.

Κακὰ κέρδεα ζημίαν ἀρετῆς φέρει.

Ibidem.

Ἐλπὶς κακοῦ κέρδεος, ἀρχὴ ζημίης.

Ibidem.

Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ, πρόφασίς ἐστι φιλαργυρίης, τρόπον ἴδιον ἐλέγχουσα.

Ex titulo περὶ ψεύδους.

Ἀληθομυθεύειν χρεὼν ὅπου λώϊον.

Ex titulo περὶ παῤῥησίας.

Κρέσσον τὰ οἰκήια ἁμαρτήματα ἐλέγχειν ἢ τὰ ὀθνεῖα.

Ibidem.

Οἰκήϊον ἐλευθερίης, παῤῥησίη· κίνδυνος δὲ, ἡ τοῦ καιροῦ διάγνωσις.

Ex titulo περὶ κακίας.

Εὐλογέειν ἐπὶ καλοῖς ἔργμασι, καλόν. τὸ γὰρ ἐπὶ φλαύροισι, κίβδηλον, καὶ ἀπατεῶνος ἔργον.

Ex titulo περὶ φειδωλίας.

Οἱ φειδωλοὶ τὸν τῆς μελίσσης οἶτον ἔχουσιν, ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.

Ibidem.

Οἱ τῶν φειδωλῶν παῖδες, ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μόνον μὴ τύχωσι, καταφερόμενοι ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται. χαλεπὸν δὲ τυχεῖν ἑνός. τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν. οὕτω δὲ καὶ οὗτοι ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύ-



που τοῦ ἐπιμελέος καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι.

Ibidem.

Φειδώ τοι καὶ λιμὸς, χρηστή· ἐν καιρῷ δὲ καὶ δαπάνη. γινώσκειν δὲ, ἀγαθοῦ.

Ibidem.

Βίος ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος.

Ex titulo περὶ ἐγκρατείας.

Εὐγνώμων, ὁ μὴ λυπεόμενος ἐφ᾽ οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ᾽ οἷσιν ἔχει.

Ibidem.

Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα, ἀτερπέστατα ἂν γίγνοιτο.

Ex titulo περὶ ἀκρασίας.

Ὑγιείην εὐχαῖς παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν παρ᾽ ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν. ἀκρασίᾳ δὲ τἀναντία πρήσσοντες, αὐτοὶ προδόται τῆς ὑγιείης τῇσιν ἐπιθυμίῃσι γίγνονται.

Ibidem.

Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται, ὑπερβεβληκότες τὸν καιρὸν, ἐπὶ βρώσεσιν, ἢ πόσεσιν, ἢ ἀφροδισίοις, ἐν τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ, βραχεῖαί τε καὶ δι᾽ ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν, ἢ πίνωσιν· αἱ δὲ λῦπαι, πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμέειν ἀεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν γένηται ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡ-

ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστι, ἀλλ' ἡ τέρψις βραχεῖα· καὶ αὖθις τῶν αὐτῶν δεῖ.

## Ibidem.

Ὅστις σῶμα θεραπεύει, τὸ ἑαυτοῦ, οὐχ ἑαυτὸν θεραπεύει· ὅστις δὲ χρήματα, οὐθ' ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ.

## Ex titulo περὶ ὀργῆς.

Θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ, τὸ κρατέειν, εὐλογίστου.

## Ibidem.

Φιλονεικίη πᾶσα ἀνόητος. τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωρεῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει.

## Ex titulo περὶ ὑπεροψίας.

Τελευτᾷ γὰρ εἰς κακοδοξίην κακὴν ὁ παρεκτεινόμενος τοῖς κρείσσονι.

## Ex titulo περὶ ἐπιορκίας.

Ὅρκους οὓς ποιέονται ἐν ἀνάγκαισιν ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.

## Ex titulo περὶ φιλοπονίας.

Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσι.

## Ibidem.

Πλέονες δὲ ἐξ ἀσκήσιος ἀγαθοὶ γίγνονται ἢ ἀπὸ φύσιος.



## Ibidem.

Τὸ ἀεὶ μέλλειν, ἀτελέας ποιεῖ τὰς πρήξιας.

## Ibidem.

Τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι, τυγχάνωσιν, ἢ εἰδέωσι κύρσοντες. ἓν δὲ ἄκος τῇ ἀποτυχίῃ, τὸ πᾶν ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον.

## Ex titulo περὶ αἰδοῦς.

Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς, μήτε ἐργάσῃ. μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

## Ex titulo περὶ ἀδολεσχίας.

Πλεονεξίη, τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

## Ex titulo περὶ χρηστότητος.

Ἀγαθὸν ἢ εἶναι χρεὼν, ἢ μιμέεσθαι.

## Ibidem.

Οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ βίος συντέτακται.

## Ex titulo περὶ φθόνου.

Μωμεομένων φλαῦρον ὁ ἀγαθὸς οὐ ποιέεται λόγον.

## Ibidem.

Ὁ φθονέων, ἑωυτὸν ὡς ἐχθρὸν λυπέει.

## Ibidem.

Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο. φθό-

νος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

Ex titulo περὶ ξένης.

Ξενιτείη βίου αὐτάρκειαν διδάσκει. μᾶζα γὰρ καὶ στιβὰς, λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

Ibidem.

Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή. ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ σύμπας κόσμος.

Ex titulo περὶ πολιτείας.

Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων, δύναται δὲ ὅταν αὐτοὶ βούλωνται πάσχειν. τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

Ibidem.

Στάσις ἐμφύλιος εἰς ἑκάτερα κακόν. καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορή.

Ibidem.

Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα, καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.

Ex titulo περὶ νόμων καὶ ἐθῶν.

Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν, ἢ ἄρχειν.

Ibidem.

Δίκη μέν ἐστιν ἔρδειν τὰ χρὴ ἐόντα· ἀδικίη δὲ, μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.

Ibidem.

Κατὰ δὲ ζώων φόνου καὶ μὴ φόνου, ὧδε ἔχει. τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν, ἀθῶος ὁ κτεί-



νων. καὶ πρὸς εὐεστὼ οὖν τοῦτο ἔρδειν μᾶλλον ἢ μή.

Ibidem.

Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός. καὶ ταῦτα ὁ ποιῶν, ἐπιθυμίης, καὶ δίκης, καὶ θάρσους, καὶ κτάσεως ἐν παντὶ κόσμῳ μείζω μοῖραν μεθέξει.

Ibidem.

Ὅκως περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν. κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον, ἐν παντὶ κόσμῳ ἐν ᾧ μὴ νόμος ἀπείργει. νόμος δὲ ἀπείργει ἱερὰ ἑκάστοισιν ἐπιχώρια, καὶ σπονδαὶ, καὶ ὅρκοι.

Ibidem.

Κιξάλλην καὶ λῃστὴν πάντα κτείνων τις, ἀθῷος ἂν εἴη, καὶ αὐτοχειρίῃ, καὶ κελεύων, καὶ ψήφῳ.

Ex titulo περὶ τῶν ἐν ταῖς πόλεσι δυνατῶν.

Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.

Ex titulo περὶ ἀρχῆς.

Ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ, καὶ μὴ παριέναι. τὸ μὲν γὰρ τοιοῦτο, δίκαιον καὶ ἀγαθόν· τὸ δὲ μὴ τοιοῦτον, ἄδικον καὶ κακόν.

Ibidem.

Καὶ οἱ φυγῆς ἄξια ἔρδουσιν, ἢ δεσμῶν, ἢ ποινῆς ἄξιοι, καταψηφιστέον· καὶ μὴ ἀπολύειν.

ὃς δ' ἂν παρὰ νοῦν ἀπολύῃ, κέρδει ὀρίζων, ἢ ἡδονῇ, ἀδικεῖ. καί οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.

## Ibidem.

Δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ τιμὰς ἀξίας τάμνων.

## Ibidem.

Μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ, μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλοι μηδεὶς εἰδήσειν, ἢ οἱ πάντες ἄνθρωποι. ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθιστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον.

## Ibidem.

Τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως, ὥσπερ τὰς παρακαταθήκας ἀποδιδόντα, οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα, κακῶς ἀκούειν καὶ πάσχειν· οὕτω καὶ τὸν ἄρχοντα. οὐ γὰρ ἐπὶ τούτῳ ᾑρέθη ὡς κακῶς ποιήσων, ἀλλ' ὡς εὖ.

## Ibidem.

Οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ μὴ οὐκ ἀδικέειν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν. οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν ἢ ἑωυτῷ τὸν αὐτὸν ἐφ' ἑτέροισι γίγνεσθαι. δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπ' ἐκείνοις γενέσθαι, ἀλλά τις ἢ θεσμὸς ἤ τι ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι.



## Ex titulo ὅτι κάλλιστον ἡ μοναρχία.

Φύσει τὸ ἄρχειν οἰκήϊον τῷ κρέσσονι.

## Ex titulo τῶν ὑποθηκῶν περὶ βασιλείας.

Φόβος κολακίην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

## Ex titulo περὶ δεσποτῶν καὶ δούλων.

Οἰκέτῃσιν, ὡς μέρεσι τοῦ σκήνεος, χρῶ ἄλλῳ πρὸς ἄλλο.

## Ex titulo περὶ ἀφροδίτης πανδήμου.

Ἐρωτικὴν μέμψιν ἡ ἀγαπωμένη λύει.

## Ex titulo ψόγου γυναικῶν.

Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

## Ex titulo γαμικῶν παραγγελμάτων.

Κόσμος ὀλιγομυθίη γυναικί. καλὸν δὲ καὶ κόσμου λιτότης.

## Ibidem.

Ὑπὸ γυναικὸς ἄρχεσθαι, ὕβρις ἀνδρὶ ἐσχάτη.

## Ex titulo ὅτι ἀσύμφορον τὸ ἔχειν τέκνα.

Τεκνοτροφίη σφαλερόν. τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται· τὴν δὲ ἀποτυχίην, ἀνυπέρθετον ἑτέρην ὀδύνην.

## Ibidem.

Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι. ἐνορῶ

γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας. ὀλίγα δὲ τὰ εὐθηλέοντα, καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέοντα.

## Ibidem.

Ὅτεῳ χρήματά ἐστι, παῖδα ποιήσασθαι ἐκ τῶν φίλων, ἐμοὶ δοκεῖ ἄμεινον εἶναι. καὶ τῷ μὲν παῖς ἔσται τοιοῦτος οἷον ἂν βούληται. ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει, καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, καὶ μάλιστα κατὰ φύσιν ἕπηται. καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον, ἐκ πολλῶν ὧν ἂν δεῖ· εἰ δέ τις ποιεῖται ἀπὸ ἑωυτοῦ, πολλοί εἰσι κίνδυνοι. ἀνάγκη γὰρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.

## Ibidem.

Ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιος τινὸς ἀρχαίης. δῆλον δὲ καὶ τοῖς ἄλλοις ζώοισι. πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν, ἐπὶ ὠφελείης γε οὐδεμιῆς ἕνεκα. ἀλλ' ὅταν γένηται, ταλαιπωρεῖ, καὶ τρέφει ἕκαστον ὡς δύναται, καὶ ὑπερδέδοικε, μέχρι σμικρᾶς· καὶ ἤν τι πάθῃ, ἀνιᾶται. ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσα ψυχὴν ἔχει. τῷ δὲ δὴ ἀνθρώπῳ νομίζον ἤδη πεποίηται ὥστε καὶ ἐπαύρησίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου.

## Ex titulo, ὁποίους τινὰς χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα.

Τοῖς παισὶ μάλιστα χρὴ τῶν αὐτῶν δατεῖσθαι



χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν μή τι ἀτηρόν τι ἔωσι διὰ χεῖρας ἔχοντες. ἅμα μὲν γὰρ πολλῶν φειδότεροι γίγνονται ἐς τὰ χρήματα, καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα, οὐκ ἀνιᾷ, ὥσπερ ἰδίῃ· οὐκ εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον.

## Ibidem.

Ἔξεστιν, οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας, παιδεῦσαί τε τοὺς παῖδας, καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.

## Ex titulo περὶ εὐγενείας.

Κτηνέων μὲν εὐγένεια, ἡ τοῦ σκήνεος εὐσθένεια· ἀνθρώπων δὲ, ἡ τοῦ ἤθεος εὐτροπίη.

## Ex titulo, ὅσα πλοῦτος ποιεῖ διὰ τὴν τῶν πλείστων ἄνοιαν.

Ὥσπερ ἐν τοῖς ἕλκεσι φαγέδαιναι κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι, τὸ μὴ προσαρμόσσον καὶ τὸ συνεχές.

## Ibidem.

Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγιγνόμενος σῆμα, οὕτως ἐν τοῖς * τὸ ὄνειδος κέκτηται.

## Ex titulo, ὅτι τὰ χρήματα ἀβλαβῆ, συμμέτρως καὶ δικαίως πορισθέντα.

Χρημάτων κτῆσις, ξὺν νόῳ μὲν, χρήσιμον εἰς

τὸ ἐλεύθερον ἐστὶ καὶ δημωφελέα· ξὺν ἀνοίῃ δὲ, χορηγίη ξυνη.

Ibidem.

Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον· ἐξ ἀδικίης δὲ, πάντων κάκιον.

Ex titulo συγκρίσεως πενίας καὶ πλούτου.

Πενίη, πλοῦτος, ὀνόματα ἐνδείης καὶ κόρου. οὔτε οὖν πλούσιος ὁ ἐνδέων, οὔτε πένης, ὁ μὴ ἐνδέων.

Ibidem.

Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει. σμικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενέα πλούτῳ ποιέει.

Ex titulo περὶ τοῦ βίου, ὅτι βραχύς.

Διζημένοισι τἀγαθὰ, μόλις παραγίνεται· τὰ δὲ κακὰ, καὶ μὴ διζημένοισι.

Ibidem.

Γιγνώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον, πολλῇσί τε κηρσὶ συμπεφυρμένην καὶ ἀμηχανίῃσιν· ὅκως ἂν πρὸς μετρίης τε κτήσιος ἐπιμελῆται, καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη.

Ex titulo περὶ εὐδαιμονίας.

Εὐτυχὴς, ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος· δυστυχὴς δὲ, ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.

Ibidem.



Ibidem.

Τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ, μήτε ξυνῇ· μηδὲ ὅσ' ἂν πρήσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν. ἀλλὰ τοσαύτην ἔχειν φυλακὴν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης, καὶ εἰς τὸ δέον ὑφηγεομένης, τῷ δοκεῖν καταιτίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν. ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης.

Ex titulo περὶ κακοδαιμονίας.

Ἀπορίη ξυνὴ, τῆς ἑκάστου χαλεπωτέρη. οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης.

Ibidem.

Νόσος οἴκου καὶ βίου γίνεται, ὅκωσπερ καὶ σκήνεος.

Ex titulo, ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα.

Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης, λογισμῷ ἔκκρουε.

Ibidem.

Μέγα τὸ ἐν συμφορῇσι φρονεῖν ἃ δεῖ.

Ibidem.

Μεγαλοψυχίη, τὸ φέρειν πρᾴως πλημμέλειαν.

Ibidem.

Πενίην ἐπιεικέως φέρειν, σωφρονέοντος.

Ex titulo περὶ ἐλπίδος.

Ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων, ἐφικταί· αἱ δὲ τῶν ἀξυνέτων, ἀδύνατοι.

## Ibidem.

Ἄλογοι τῶν ἀξυνέτων αἱ ἐλπίδες.

## Ex titulo, ὅτι οὐ χρὴ ἐπιχαίρειν τοῖς ἀτυχοῦσιν.

Οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης, κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκείης χαρᾶς.

## Ex titulo ἐπαίνου γήρως.

Ἰσχὺς καὶ εὐμορφίη, νεότητος ἀγαθά· γήρας δὲ, σωφροσύνης ἄνθος.

## Ibidem.

Ὁ γέρων, νέος ἐγένετο· ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀφίξεται. τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος, εἰ καὶ ἀδήλου, κρέσσον.

## Ex titulo ψόγου γήρως.

Γῆρας, ὁλόκληρος ἐστὶ πήρωσις· πάντ᾽ ἔχει, καὶ πᾶσιν ἐνδεῖ.

## Ibidem.

Αὐξανομένου τοῦ σώματος, συναύξονται φρένες· γηράσκοντος δὲ, συγγηράσκουσι, καὶ εἰς τὰ πράγματα πάντα ἀμβλύνονται.

## Ex titulo ἐπαίνου θανάτου.

Ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωροῦσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.



## Ex Plutarcho.

Πρὸς τούτοις γὰρ οἶμαι μάλιστα τὸν Δημόκριτον εἰπεῖν ὡς εἰ τὸ σῶμα δικάσαιτο τῇ ψυχῇ κακώσεως, οὐκ ἂν αὐτὴν ἀποφυγεῖν.

## Ex eodem.

Δείκνυσι τὸν λόγον ἐντὸς ἤδη στρεφόμενον, καὶ ῥιζούμενον ἐν ἑαυτῷ, καὶ κατὰ Δημόκριτον, αὐτὸν ἐξ ἑαυτοῦ τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν.

## Ex eodem.

Κοράκων μὲν λαρυγγισμοῖς, καὶ κλωσμοῖς ἀλεκτορίδων, καὶ συσὶν ἐπὶ φορυτῷ μαργαινούσαις, ὡς ἔφη Δημόκριτος, ἐπιμελῶς προσέχειν, σημεῖα ποιουμένοις πνευμάτων καὶ ὄμβρων.

# ΔΗΜΟΚΡΙ'ΤΟΥ ἘΠΙ-ΣΤΟΛΑΙ'.

# DEMOCRITI EPI-STOLAE.

## ΔΗΜΟΚΡΙΤΟΣ ἹΠΠΟΚΡΑΤΕΙ, περὶ φύσεως ἀνθρώπου.

Χρὴ πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι, ὦ Ἱππόκρατες. καλὸν γὰρ ἅμα καὶ ξυμφέρον ἐς τὸν βίον. τουτέων δὲ μάλιστα τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους· ἱστορίην σοφίης γὰρ δοκέω ἰητρικῆς ἀδελφὴν καὶ ξύνοικον. σοφίη μὲν γὰρ ψυχὴν ἀναῤῥύεται παθέων, ἰητρικὴ δὲ νούσους σωμάτων ἀφαιρέεται. αὔξεται δὲ νοῦσος παρεούσης ὑγείης, ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ φρονέοντας. ἕξεως δὲ σωματικῆς ἀλγεούσης, οὐδὲ προθυμίην ἄγει νόος ἐς μελέτην ἀρετῆς. νοῦσος γὰρ παρεοῦσα, δεινῶς ψυχὴν ἀμαυροῖ, φρόνησιν εἰς συμπαθίην ἄγουσα. φύσεως δὲ ἀνθρωπίνης ἡ περιγραφὴ θεωρίην ἔχει τοιήνδε.

Ὁ μὲν ἐγκέφαλος φρουρέει τὴν ἄκρην τοῦ σώματος ἀσφαλείην ἐμπεπιστευμένος, ὑμέσι νευρώδεσι συνεσκατοικέων. ὑπὲρ ὃν ὀστέων διπλαῖ φύσιες ἀναγκαῖαι ἀρηρῦιαι, δεσπότην φύλακα διανοίης καλύπτουσιν ἐγκέφαλον, τριχῶν εὐκοσμίᾳ χρῶτα κοσμοῦσαι. τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν ἐν

πουλυχίτωνι φωλεῦον ὑγροῦ ἐνστασίαις ὑπὸ μέτωπον κολάσιη συνίδρυται· θεωρίης δὲ αἴτιον. ἀκριβὴς δὲ κόρη φύλακα ταρσὸν εὐκαιρίης ὑπομένειν. δισσοὶ δὲ ῥώθωνες ὀσφρήσιος ἐπιγνώμονες διορίζουσιν ὀφθαλμῶν γειτνίην. μαλακὴ δὲ χειλέων ἀμφὶ στόματι περιπτυσσομένη, ῥημάτων αἴσθησιν ἀκριβῆ τε διάρθρωσιν παρέσχηκε κυβερνωμένη. γένειον δὲ ἀκροτενὲς καὶ χελύνειον, γόμφοις συνηρμοσμένον. ἐνδοχεῖα δὲ μύθων ὦτα δημιουργὸς ἀνέῳξεν, οἷς ἐπέων ὁ μῦθος οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίνεται. λαλιῆς μήτηρ γλῶσσα, ψυχῆς ἄγγελος, πυλωρεῦσα τὴν γεῦσιν ἐχυροῖς ὀδόντων τειγχοῖσι πεφρούρηται. βρόγχος δὲ καὶ φάρυγξ ἡρμοσμένοι ἀλλήλοις γειτνιῶσιν. ὁ μὲν γὰρ ἐς κέλευθον πνεύματος, ὁ δὲ εἰς βυθὸν κοιλίης τροφὴν προπέμπει, λάβρον ὠθεύμενος. κωνοειδὲς δὲ καρδίη βασιλὶς ὀργῆς τιθηνὸς πρὸς πᾶσαν ἐπιβουλὴν ἐνδέδυκε θώρηκα. θαμιναὶ δὲ πνευμάτων σήραγγες ἠέρι διοδευόμεναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσι. τὸ δὲ χορηγὸν αἵματος καὶ μεταβάλλον εἰς τροφὴν, σὺν λοβοῖς πολλάκις κοίλη περίπλοος ἐστι. ἧπαρ ἐπιθυμίης αἴτιον· χλωρὴ δὲ χολὴ πρὸς ἥπατι μένουσα, καὶ διαφθορὴ σώματος ἀνθρωπηΐου ὑπερβλύσασα γίνεται. βλαβερὸς δὲ σώματος ἀνθρωπίνου καὶ ἀνωφελὴς ἔνοικος σπλὴν, ἀπέναντι εὕδει, πρᾶγμα μηδὲν αἰτεύμενος. μέση δὲ τουτέων χορηγεῖ πανδέκτειρα κοιλίη κα-



τευνάζεται, διοικέουσα τὴν πέψιν. ἔννυχα δὲ κοιλίης συνθέσιος δημιουργίῃ συνδονεύμενα εἰλεῖται περὶ κοιλίην ἔντερα, λήψιος καὶ ἀποκρίσιος αἴτια. δίδυμοι δὲ νεφροὶ ἰσχίοισιν ἐνηδρασμένοι καὶ ἠμφιεσμένοι δημοῖ, οὔρων ἐκκρίσιος οὐκ ἀλλότριοι πεφύκασι. κύριος δὲ ἁπάσης κοιλίης ὁ καλεύμενος ἐπίπλους, γαστέρα πᾶσαν ἐμπεριείληφε, μόνου σπληνὸς ἄτερ· ἐξ ἧς νευρώδης κύστις ἰσχίῳ στόμα ἐνηδρασμένη, συμπεπλεγμένων ἀγγείων, οὔρων ἐκκρίσιος αἰτίη γίνεται. ἡ δὲ γειτνιῶσα ταύτῃ μήτηρ βρεφέων, ἡ δεινὸν ἄλγος τῶν ἐν γυναικὶ μόχθων μυρίων παραιτίη μήτρη πεφώλευκεν, ἡ πυλωρὸς μυχοῖς ἰσχίων βράσσουσα σὰρξ, σφίγγεται νεύροισιν· ἐκ δὲ πλήθοις ἐκχέουσα γαστρὸς φύσιος ἐκ τόκου προνοίης. ἐκ δὲ σώματος κρεμαστοὶ ἐκτὸς οἰκίην νέμονται ἔκγονοι κτίσται ὄρχις πουλυχίτωνες ἐόντες εὖνοι ἥβη, ἀπὸ φλεβέων τε καὶ νεύρων πλέγμα, οὔρων ἔκχυσιν ποιεύμενον, συνουσίης ὑπουργὸν φύσιος ὑπὸ διδημιούργηται, ὄρεξιν ἥβης πυκαζόμενον. σκέλη δὲ καὶ βραχίονες καὶ τὰ προσηρτημένα τουτέοις ἄκρα, διηκονίης πᾶσαν ἀρχὴν συνηθροισμένα ἔχοντα, νεύρων τε ἀσφαλῆ λειτουργίην τελέουσιν. ἡ δὲ ἀσώματος ἐν μυχοῖς φύσις ἐξέτευξε παντόμορφα σπλάγχνων γένη· ἃ δὴ θάνατος ἐπισταθεὶς, ὠκέως ἔπαυσε λειτουργίης.

## ΔΗΜΟΚΡΙΤΟΣ ἹΠΠΟΚΡΑΤΕΙ.

Ἐπῆλθες ἡμῖν ὦ Ἱππόκρατες, ὡς μεμηνόσιν, ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ᾽ οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται. ἐτύγχανον μὲν δὲ περὶ κόσμου διαθέσιος καὶ πολυγραφίης, ἔτι τε ἄστρων οὐρανίων, συγγράφοντες. γνοίης δὲ τὴν τούτων φύσιν, ὡς ἀτρεκέως κάρτα εἴη δεδημιουργημένα, καὶ ὡς τηλοῦ μανίης καὶ παραφρενήσιος καθεστήκοι, ἐμέο μὲν φύσιν ἐπῄνεσας, ἀπῄνεσας δὲ καὶ μεμηνότας ἐκείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδαλμοῖσι διαλλάσσονται ἀνὰ τὸν ἠέρα, πλάζει ἡμέας, ἃ δὴ κόσμῳ συνορᾶται, καὶ ἅμα ἃ μοίρης μιῆς ἐόντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως ἐς φάος ἤγαγε. μάρτυρες δὲ τούτων βίβλοι ὑπ᾽ ἐμέο γραφεῖσαι. χρὴ οὖν καὶ σὲ ὦ Ἱππόκρατες μὴ τοιουτοτρόποισιν ἀνδράσι συνέρχεσθαι καὶ συνομιλέειν, ὧν νόος ἀκρόπλοος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γὰρ πεισθεὶς τούτοισιν, ὡς μεμηνότα με ἐπότισας, ἡ σύνεσις ἡ πινυτὴ μανίη ἂν ἐγεγόνει, καὶ σέο τέχνην ἂν κατεμέμψαντο, ὥσπερ αἴτιον παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς, ἐπισκοτεῖ διανοίην· μεμηνόσι δὲ δοθεὶς, κάρτα ὠφελεῖ. γνῶθι γὰρ ὡς εἰ μὴ κατελελαβήκεις με γράφοντα, ἀλλ᾽ ἀνακεκλιμένον, ἢ σχέδην περιπατεῦντα, καὶ προσομιλεῦντα ἑαυτῷ, καὶ πολλάκις ὁτὲ μὲν δυσχεραίνοντα, ὁτὲ δὲ μειδιῶντα, ἐπὶ τοῖσιν ἐννοευμένοισιν



ὑπ᾽ ἐμέο, καὶ τοῖσι μὲν προσομιλεῦσι τῶν γνωρίμων οὐ προσέχοντα, ἐφιστάνοντα δὲ τὴν διάνοιαν, καὶ σκεπτόμενον ἱκανῶς, ἔγνως ἂν Δημόκριτον, κατὰ τὴν ὄψιος κρίσιν, ἐκ τῶν ὀρεομένων μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰητρὸν μὴ μόνον ὄψει τὰ πάθεα κρίνειν, ἀλλὰ καὶ πράγμασι· τούς τε ἐρευγμοὺς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον, καὶ πότερον ἄρχοιτο τὸ πάθος, ἢ μεσάζοι, ἢ λήγοι· καὶ διαφορὴν καὶ ὥρην καὶ ἡλικίην παρατηρέειν· εἶτα ἰητρεύειν τὸ πάθος, ὁλομελίην τε τοῦ σκήνεος. ἐκ γὰρ τουτέων ἁπάντων εὐχερῶς ἂν τὰς νούσους εὕροις. ἀπέστειλα δέ σοι τὸν περὶ μανίης λόγον.

## ἹΠΠΟΚΡΑΤΗΣ ΔΗΜΟΚΡΙΤΩι.

Ἰητρικῆς τέχνης ὦ Δημόκριτε κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παντάπασιν ἐπαινέουσι, θεοῖσι δὲ πολλάκις προσαυστῶσι. κἂν δὲ ἡ φύσις ἀντιπρήξῃ, καὶ ἀπολέσῃ τὸν θεραπευόμενον, τὸν ἰητρὸν καταμέμφονται, παρέντες τὸ θεῖον. καὶ ἐγὼ δοκέω πλείονα μεμψιμοιρίην ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς εἰς τέλος οὐκ ἀφῖγμαι, καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ τῆσδε εὑρετὴς Ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς διεφώνησε, καθάπερ ἡμῖν συγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἀποσταλεῖσα ἡμῖν ἐπιστολὴ, κατεμέμφετο τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν

οὖν ὦ Δημόκριτε ὡς μεμηνότα ἐλλεβορίσων· οὐ καταμαντευσάμενος ὅστις ποτ' εἴης. ὡς δὲ ἐντυχὼν εἶδον, οὐ μὰ Δία παραφρονήσεως ἔργον ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, κάρτα τὴν φύσιν ἐπῄνεσα. ἄριστόν τε ἑρμηνέα φύσιος καὶ κόσμου ἔκρινα. τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας. φαρμακείης γὰρ αὐτοὶ δέονται. ἐπειδὴ τοίνυν ταὐτόματον ἡμέας εἰς ταὐτὸ ξυνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον, καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γεγραμμένων συνταγμάτων. ἀπέστειλα δέ σοι καὶ αὐτὸς τὸν περὶ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.



*Hanc quoque Hippocratis epistolam placuit subiungere, quòd in ea non solùm multa de Democrito narrentur, sed plurima etiam tanquã ex ore illius referantur.*

## ἹΠΠΟΚΡΆΤΗΣ ΔΗΜΑΓΗ'ΤΩι χαίρειν.

Τοῦτο ἐκεῖνο Δημάγητε ὅπερ εἰκάζομεν. οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρόνεε, καὶ δι' ἡμέων πάντας ἐσωφρόνιζε. ἐξέπεμψα δέ σοι, φιλότης, ὡς ἀληθέως τὴν Ἀσκληπιάδα νῆα· ἣ προσέθες μετὰ τοῦ ἁλίου ἐπίσημον καὶ ὑγιείην. ἐπεὶ καὶ κατὰ δαίμονα τῷ ὄντι ἰσοδρόμηκε, καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν εἰς Ἄβδηρα, ἧπερ αὐτέοισιν ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν, ὡς εἰκὸς ἡμέας περιμένοντας· οὐκ ἄνδρας μοῦνον, ἀλλὰ καὶ γυναῖκας· ἔτι δὲ καὶ πρεσβύτας, καὶ παιδία νὴ τοὺς θεοὺς κατηφέα, καὶ τὰ νήπια. οὗτοι μέντοι ὧδε εἶχον ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ. ὁ δὲ μετὰ ἀκριβείης τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον, ἔδοξαν που ἡδίους μικρόν τι ἐφ' ἑωυτοῖσι γεγονέναι, καὶ χρηστὰς ἐλπίδας ἐποιεῦντο. ὁ δὲ Φιλοποίμην ἄγειν με ἐπὶ τὴν ξενίην ὥρμητο· κἀκείνοισι συνεδόκεε τοῦτο. ἐγὼ δὲ ἔφην, ὦ Ἀβδηρῖται, οὐδὲν δεῖ μοι προὔργου ἢ Δημόκριτον θεήσασθαι. οἱ δὲ ἐπῄνεον ἀκούοντες, καὶ ἥσθησαν.

ἦγόν τε συντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν, ἑπόμενοι, οἱ δὲ, προθέοντες, ἑτέρωθεν ἕτεροι· σῶζε, λέγοντες, βοήθει, θεράπευσον. κἀγὼ παρηγόρεον θαῤῥεῖν, ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ (πίσυνος ἐτησίησιν ὥρησιν) εἰ δ' ἄρα καί τινος, βραχέος, εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων ᾔειν. οὐδὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη, μᾶλλον δὲ οὐδ' ἡ πόλις ὅλη παρῄειμεν οὖν. πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανε. καὶ ἀνάγουσί με ἡσυχῇ. ἔπειτα κατόπιν τοῦ πύργου βουνός τις ὑψηλὸς, μακρῇσι καὶ λασίῃσιν αἰγείροισιν ἐπίσκιος· ἔνθεν ἑωρᾶτο τὰ τοῦ Δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ Δημόκριτος ἐκάθητο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῇ πλατανίσῳ, ἐν ἐξωμίδι παχείῃ, μοῦνος, ἀνήλειφος, ἐπὶ λιθίνῳ θώκῳ, ὠχριακὼς πάνυ καὶ λεπτόσαρκος· κουρειῶν τὰ γένεια. παρ' αὐτὸν δὲ ἐπὶ δεξιῆς, λεπτόῤῥυτον ὕδωρ κατὰ πρηνέος τοῦ λόφου θέον ἠρεμαίως ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ κατεικάζοντι, νυμφέων ἱδρυμένον, αὐτοφύτοισιν ἐπηρεφὲς ἀμπέλοισιν. ὁ δὲ εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τῶν γονάτων βιβλίον, καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν τῶν μερέων αὐτῷ παρεβέβλητο. σεσώρευτο δὲ καὶ ζῶα συχνὰ ἀνατετμημένα δι' ὅλων. ὁ δὲ ὁτὲ μὲν συντόνως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει, πάμπολύ τε ἐπέχων, καὶ ἐν ἑαυτῷ μερμηρίζων. εἶτα μετ' οὐ πολὺ τούτων ἐρδομένων, ἐξαναστὰς περιεπάτεε, καὶ τὰ σπλάγχνα τῶν ζώων περιεσκόπεε· καὶ κατα-



θεὶς αὐτὰ, μετελθὼν ἐκαθέζετο. οἱ δὲ Ἀβδηρεῖται περιεστῶτές με κατηφέες, καὶ οὐ πόῤῥω τὰς ὄψιας δακρύων ἔχοντες, φασὶν, ὁρῇς μέντοι τὸν τοῦ Δημοκρίτου βίον, ὡς μέμηνεν, ὦ Ἱππόκρατες· καὶ οὔτε ὅ,τι θέλει οἶδεν, οὔτε ὅ,τι ἔρδει. καί τις αὐτέων ἔτι μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην, ὀξὺ ἀνεκώκυσεν, ἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀλοφυρομένῃ. εἶτα ἀνῴμωξε πάλιν ἄλλος, ὑποκρινόμενος παροδίτην ἀπολέσαντά τι ὧν διεκόμιζε. καὶ ὁ Δημόκριτος ἀκούων, τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα· καὶ οὐκέτι οὐδὲν ἔγραφε, τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέσειεν. ἐγὼ δὲ, ὑμεῖς μὲν (ἔφην) ὦ Ἀβδηρεῖται αὐτόθι μίμνετε· ἐγγυτέρω δὲ αὐτὸς καὶ λόγου καὶ σώματος τἀνδρὸς γενηθεὶς, ἰδὼν καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ ταῦτα εἰπὼν, κατέβαινον ἡσυχῇ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δ' οὖν διαστηριζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχε τότε ἐπελθὸν αὐτῷ ὅ,τι δήποτε γράφειν ἐνθουσιωδῶς καὶ μεθ' ὁρμῆς. εἱστήκειν οὖν περιμένων αὐτέο τὸν καιρὸν τῆς ἀναπαύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, προσέβλεψέ τε εἰς ἐμὲ προσιόντα, καί φησι, χαῖρε ξεῖνε. κἀγὼ, πολλὰ δὲ καὶ σὺ Δημόκριτε, ἀνδρῶν σοφώτατε. ὁ δὲ (αἰδεσθεὶς, οἶμαι, ὅτι οὐνόματι οὐ προσεῖπέ με) σὲ δὲ (ἔφη) τίνα καλέομεν; ἀγνοίῃ γὰρ τοῦ σοῦ οὐνόματος, πρόφασις τῆς τοῦ ξείνου προσηγορίης. Ἱπποκράτης (ἔφην) ἔμοιγε τοὔ-

νομα, ὁ ἰητρός. ὁ δὲ εἶπεν, Ἢ τῶν Ἀσκληπιαδῶν εὐγένεια; πολύ γε σοῦ τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν ὡς ἐμέ. τί δέ σε χρέος δεῦρ' ἤγαγεν, ἑταῖρε; μᾶλλον δὲ πρὸ πάντων κάθισον. ὁρῇς δὲ ὡς ἐστὶν ἑδρίη αὕτη οὐκ ἀηδὴς φύλλων θημὼν, χλοερός τε καὶ μαλθακὸς ἐγκαθίσαι, καὶ προσηνέστερος τῶν τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου, πάλιν φησὶν, Ἴδιον οὖν τι ἢ ἐπιδήμιον διζήμενος πρῆγμα, δεῦρο ἀφῖξαι; φράζε σαφέως. καὶ γὰρ ἡμεῖς ὅ,τι δυναίμεθα συνεργοίμεθ' ἄν. κἀγὼ, Τὸ μὲν κατ' ἀλήθειαν (ἔφην) ἕνεκεν σεῦ. δεῦρο γὰρ ἥκω σοι συντυχεῖν ἀνδρὶ σοφῷ. ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείην τελέω. ὁ δὲ, Ξενίῃ τοίνυν τὰ πρῶτα κέχρησο ἡμετέρῃ. πυθόμενος δὲ καὶ πάντα τἀνδρὸς, καίπερ ἤδη μοι δῆλον μὴ παρακόπτειν, Φιλοποίμενα οἶσθα (ἔφην) πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ, Καὶ μάλα (ἔφη) εἰ τὸν Δήμωνος λέγεις υἱὸν, τὸν οἰκέοντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. Τούτῳ (εἶπον) ὢν τυγχάνω ἐκ πατέρων ἰδιόξενος. ἀλλὰ σὺ Δημόκριτε τῇ κρέσσονί με ξενίῃ δέχου. καὶ πρῶτόν γε τί ἦν τοῦτο ὃ γράφων τυγχάνεις φράζε. ὁ δὲ, ἐπισχὼν ὀλίγον, περὶ μανίης, ἔφη. κἀγὼ Ζεῦ βασιλεῦ, φημὶ, δικαίως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ, Ποίην (φησὶ) πόλιν Ἱππόκρατες; Ἐγὼ μὲν οὐδὲν, ἔφην, ὦ Δημόκριτε· ἀλλ' οὐκ οἶδ' ὅπως προὔπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις; τί γὰρ (εἶπεν) ἄλλο ἢ τίς πέλει, καὶ ὅκως ἀνθρώποισιν ἐγγίνεται, καὶ τίνα τρόπον



ἀπολωφέοιτο. τὰ γὰρ ζῶα ταῦτα (ἔφη) ὁκόσα ὁρῇς, τούτου μέντοι γε ἕνεκα ἀνατέμνω· οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη ἐπίπολυ αὕτη πλεονάσασα. ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει· ἀλλὰ παρ' οἷς μὲν, ἐλάσσων, παρ' οἷς δέ τισι πλείων. ἡ δὲ ἀμετρίη αὐτῆς, νοῦσοι τυγχάνουσιν, ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγὼ, νὴ Δί' (ἔφην) ὦ Δημόκριτε, ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαίμονά σε κρίνω, ἀπολαύοντα τοσαύτης ἡσυχίης. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται, ἐρομένου δὲ, διὰ τί Ἱππόκρατες οὐκ ἐπιτέτραπται, ὅτι, ἔφην, ἢ ἀγροὶ, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμοι, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ὑποτέμνεται. ἐνθαῦτα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη· καὶ μάλα ἄθρουν τι ἀνεκάγχασε καὶ ἐπετώθασε, καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. καὶ ἐγὼ, τί μέντοι (ἔφην) ὦ Δημόκριτε καταγελᾷς· πότερον τὰ ἀγαθὰ ὧν εἶπον, ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα. καὶ ἄποθεν ὁρῶντες οἱ Ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα. οἱ δὲ τὰς τρίχας αὐτῶν ἔτιλλον. καὶ γὰρ (ὡς ὕστερον ἔφασαν) πλεονάζοντι παρὰ τὸ εἰωθὸς ἐχρήσατο τῷ γέλωτι. ὑπολαβὼν δὲ ἐγὼ ἔφην, Ἀλλὰ μὴν σοφῶν ἄριστε Δημόκριτε (ποθέω γὰρ αἰτίην τοῦ περί σε πάθεος καταλαβέσθαι) τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος αὐτὸς, ἢ τὰ λαληθέντα; ὅκως ἢ μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγ-

χθεὶς, διακερδύσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ, Ἡράκλεις, ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις οἵην οὐδένα πώποτε Ἱππόκρατες. Καὶ πῶς οὐκ ἐλεγχθείης (ἔφην) ὦ ἄριστε; ἢ οὐκ οἴει ἄτοπός γε εἶναι, γελῶν θάνατον ἀνθρώπου, ἢ νοῦσον, ἢ παρακοπήν, ἢ μανίην, ἢ μελαγχολίην, ἢ σφαγήν, ἢ ἄλλό τι χέρειον; ἢ τοὔμπαλιν γάμους, ἢ πανηγύριας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχάς, ἢ τιμάς, ἢ ἄλλό τι πᾶν ὅλως ἀγαθόν. καὶ γὰρ ἃ δέον οἰκτείρειν γελῇς, καὶ ἐφ' οἷσιν ἥδεσθαι χρή, καταγελῇς τούτων· ὥστε μήτε ἀγαθὸν μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ, Ταῦτα μὲν εὖ λέγεις Ἱππόκρατες· ἀλλ' οὐκ οἶσθά πω ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δὲ, εὖ οἶδ' ὅτι κρέσσονα τῆς πρεσβείης ἀντιφορτισάμενος, ἀποίσῃ θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι, καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. ἀνθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰητρικὴν ἀμοιβηδόν· γνοὺς οἵην σπουδὴν περὶ τὰ ἀσπούδαστα, φιλοτιμούμενοι πρήσσειν τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι, τὸν βίον ἀχρήστως ἀναλίσκουσι, γελώτων ἄξια διοικοῦντες. ἐγὼ δέ φημι, Λέγε πρὸς θεῶν. μήκοτε γὰρ διαλανθάνει νοσέων πᾶς ὁ κόσμος, καὶ οὐδὲ ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην; τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ; ὁ δὲ, ὑπολαβὼν, Πολλαί γε (φησὶν) ἀπειρίαι κόσμων εἰσίν, ὦ Ἱππόκρατες· καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. Ἀλλὰ ταῦτα μὲν (ἔφην)



(ἔφην) ὦ Δημόκριτε διδάξεις ἐν ἰδίῳ καιρῷ· εὐλαβέομαι δὲ μή πως καὶ τὴν ἀπειρίην διεξιὼν, γελᾶν ἄρξῃ. ἴθι τοίνυν περὶ τοῦ σοῦ γέλωτος τῷ βίῳ λόγον δώσων. ὁ δὲ, μάλα τρηχὺ ἀπιδὼν με, Δύο (φησὶ) τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φλαῦρα· ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον, ἀνοίης μὲν γέμοντα, κενὸν δὲ πρηγμάτων ὀρθῶν, πάσαισιν ἐπιβολαῖσι νηπιάζοντα, καὶ μηδεμιῆς ἕνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μόχθους· πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμέτροισιν ἐπιθυμίῃσιν ὁδεύοντα· ἄργυρον τήκοντα καὶ χρυσόν· καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης, ἀεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, ὅκως αὐτὸς ἐλάσσων γένηται. καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων, ὅτι χάσματα γῆς ὀρύσσει δεσμίων χερσίν. ὧν οἱ μὲν ὑπὸ συμφῆς πιπτούσης τῆς γῆς ἐφθάρησαν, οἱ δὲ πολλῷ χρόνῳ ταύτην ἄγοντες τὴν ἀνάγκην, ὡς ἐν πατρίδι τῇ κολάσει καταμένουσιν, ἄργυρον καὶ χρυσὸν μαστεύοντες· ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες, καὶ γῆς φλέβας ἐκτέμνοντες εἰς πλουσίην· ἀεὶ βωλοποιοῦντες ἐκ γῆς τῆς μητρός. τὴν δὲ μίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζουσι καὶ πατεῦσιν. ὅσος γέλως· ἐπιμόχθου καὶ κρυφίης γῆς ἐρῶσι, καὶ τὴν φανερὴν ὑβρίζουσι. κύνας ὠνέονται, οἱ δὲ ἵππους. οἱ δὲ, χώρην πολλὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσι· καὶ πολλῶν ἐθέλοντες δεσπόζειν, οὐδὲ αὐτῶν δύνανται. γαμεῖν

παιδεύουσιν οὓς μετ' ὀλίγον ἐκβεβλήκασιν. ἐρῶσιν, εἶτα μισοῦσι. μετ' ἐπιθυμίης τεκνοῦσιν, εἶτα ἐκβάλλουσι τελέως. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα; πολεμοῦσιν ἔμφυλα, ἠρεμίην οὐχ αἱρετίζουσιν. ἀντενεδρεύουσι, βασιλῆας ἀνδροφονέουσι. γῆν ὀρύττοντες, ἄργυρον ζητοῦσιν· ἄργυρον εὑρόντες, γῆν θέλουσι πρίασθαι. ἀνησάμενοι γῆν, καρποὺς πιπράσκουσι· καρποὺς ἀποδόμενοι, πάλιν ἀργύριον μεταλαμβάνουσιν. ἐν ὅσῃσι μεταβολῇσιν εἰσὶν, ἐν ὅσῃ κακίῃ. οὐσίην μὴ ἔχοντες, οὐσίην ποθέουσιν· ἔχοντες, κρύπτουσιν, ἀφανίζουσι. γελῶ ἐφ' οἷσι κακοπραγέουσιν, ἐπιτείνω τὸν γέλωτα ἐφ' οἷς δυστυχέουσι. θεσμοὺς γὰρ ἀληθείης παραβεβήκασι, φιλονεικέοντες ἔχθρη πρὸς ἀλλήλους, δι' ἔριν ἔχουσι μετ' ἀδελφεῶν καὶ γονέων καὶ πολιτέων· καὶ ταῦτα, ὑπὲρ τοιούτων κτημάτων ὧν οὐδεὶς θανὼν δεσπότης ἐστίν. ἀλληλοκτονέουσιν ἄθεσμα, βίᾳ φονεύοντες. φίλων καὶ πατρίδων ἀπορίην ὑπερορῶσι, πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα. ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται, ὅτι δοκεῖ λαλεῖν τὸ ἄγαλμα· τοὺς δὲ ἀληθέως λέγοντας μισέουσι. τῶν μὴ ἰδίων ἐφίενται. καὶ γὰρ ἤπειρον οἰκέοντες, θάλατταν ποθέουσι· καὶ πάλιν ἐν νήσοισιν ἐόντες, ἠπείρων γλίχονται· καὶ πάντα διαστρέφουσιν εἰς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρίην ἐπαινέσαι, νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης, ὑπὸ



τῶν παθέων ἁπάντων ἃ νοσέουσι. Θερσῖται δέ εἰσι τοῦ βίου πάντες. τί δὲ τὸν ἐμὸν Ἱππόκρατες ἐμέμφω γέλωτα; οὐ γὰρ αὐτοὶ τῆς ἰδίης ἀνοίης, ἀλλ' ἄλλος ἄλλου καταγελᾷ. οἱ μὲν, τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέωσι νήφειν· οἱ δὲ, τῶν ἐρώντων, χαλεπωτέρην νόσον νοσέοντες αὐτοί. οἱ δὲ, τῶν πλεόντων· ἄλλοι δὲ, τῶν περὶ γεωργίην ἀσχοληθέντων. οὐ συμφωνέουσι γὰρ οὔτε τῇσι τέχνῃσιν, οὔτε τοῖς ἔργοισιν. ἐγὼ δὲ, Ταῦτα μὲν (ἔφην) κρήγυα, Δημόκριτε· οὐδὲ ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ πράξεις νομοθετέουσι τὴν ἀναγκαίην, οἰκοδομῆς τε ἕνεκεν καὶ ναυπηγίης, καὶ τῆς ἑτέρης πολιτείης ἐν ᾗ χρεὼν ἐστὶ τὸν ἄνθρωπον. οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τούτων δὴ πάλιν φιλοδοξίη χυθεῖσα ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχήν· σπουδαζόντων μὲν ἅπαντα ὡς ἐπ' ἀδιαπτωσίην, μηκέτ' εὐτονεόντων δὲ τὴν ἀδηλότητα προορῆσθαι. τοῦ γάρ τις ὦ Δημόκριτε γαμέων, ἢ χωρισμὸν ἢ θάνατον προσεδόκησε; τίς δ' ὁμοίως παιδοτροφέων; ἀπώλειαν; ἀλλ' οὐδὲ ἐν γεωργίῃ καὶ πλόῳ καὶ ναυτιλίῃ, καὶ βασιλείῃ καὶ ἡγεμονίῃ, καὶ πάνθ' ὅσα ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προϋπέλαβε πταῖσαι· ἀλλ' ἀγαθῇσιν ἕκαστος τούτων ἐλπίσι φέρβεται, τῶν δὲ γε χερειόνων οὐ μέμνηται. μήποτ' οὖν ὁ σὸς γέλως τούτοις ἀνάρμοστος. ὁ δὲ Δημόκριτος, Μάλα νωθὴς (ἔφη) τὸν νόον ὑπάρχεις, καὶ μακρήν γε τῆς ἐμῆς

γνώμης ἀπόδημος εἶ Ἱππόκρατες, ἀπραξίης καὶ ταραχῆς μέτρα ἐπισκοπέων δι' ἀγνοίην. ταῦτα γὰρ αὐτὰ διανοίῃ φρενήρει διοικέοντες, αὐτοί τε ῥαδίως ἀπηλλάττοντο, καὶ τὸν ἐμὸν ἐλώφεον γέλωτα. νῦν δ' ὡς ἐπ' ἀρηρόσι τούτοισιν ἐν τῷ βίῳ φρενοβλαβέες τετύφωνται, ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπάρχει ἡ τῶν ξυμπάντων μεταβολὴ, ὀξείῃσι τροπῇσιν ἐμπίπτουσα αἰφνίδιον, τροχιλασίην παντοίην ἑλίσσουσα. οἱ δ' ὡς ἐπ' ἀρηρῇ καὶ βεβαίῃ, ἐκλελησμένοι παθέων κατὰ τὸ συνεχὲς συμπιπτόντων ἄλλοτε ἄλλως, ποθέοντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ συμφέροντα, ἐναλινδέονται πολλῇσι ξυμφορῇσιν. εἰ δ' ἐμερμήριζε κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν, ἑαυτὸν ἐξεπιστάμενος· καὶ σύγκρισιν ἰδίην σαφῶς κατανοήσας, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνων, τὴν δὲ πλουσίην φύσιν καὶ πάντων τιθηνὴν δι' αὐταρκείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων ἐν εὐεξίῃ κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων ἐπισφαλέστερόν ἐστιν· χρήσιμοι δὲ ἐπὶ τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. ἄλλοι δὲ, τὰ τῶν πέλας μηδὲν ἱστορέοντες, ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο· τὰ δὲ δῆλα καθάπερ ἄδηλα μὴ θεωρέοντες, ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες γινομένων καὶ μὴ γινομένων, ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν κατανοῆσαι. ταῦτα ὁ



ἐμὸς γέλως. ἄφρονες ἄνθρωποι, πονηρίης δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνεδρείης, ἐπιβουλῆς, βασκανίης. ἀργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν. ἀπειρίη γάρ τις ἐστί. κἂν τούτοισι δολοπλοκίῃσιν ἀνθαμιλλέονται, σκολιόφρονες. ἀρετῆς δὲ παρ' αὐτοῖσι τρόπος ἐστὶ τὸ χέρειον. φιλοψευδίην γὰρ ἀσκέουσι, φιληδονίην κοσμοῦσι, νόμοισιν ἀπειθέοντες. ὁ δὲ αὐτῶν κατακρίνει τὴν ἀπροαιρεσίην μήτε ὁρήσιος, μήτε ἀκοῆς μετέχοντας. μούνη δ' αἴσθησις ἀνθρώπου, ἀτρεκίη διανοίης τηλαυγοῦς· τό, τε ἐὸν καὶ τὸ ἐσόμενον προορώμενοι, δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖσιν αὐτοῖσιν ἐμπελάζονται. ἀρνησάμενοι πλόον, πλέουσι· γεωργίην ἀπωσάμενοι, αὖθις γεωργοῦσιν· ἐκβαλόντες γαμετὴν, ἑτέρην εἰσάγονται· θάψαντες ἃ ἐγέννησαν, πάλιν τρέφουσι γῆρας εὔξαντο, εἶτα εἰς αὐτὸ ἀφικόμενοι στενάζουσιν. ἐν οὐδεμιῇ καταστάσει βεβαίαν ἔχουσι γνώμην. ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην, ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείας· ὁ πολιτευόμενος τὸν χειροτεχνέοντα, ὡς ἀκίνδυνον· ὁ χειροτέχνης ἐκεῖνον, ὡς εὖ πνέοντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἠρεμίης οὐ θεωρέουσι καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδὲ εἷς τετόλμηκεν ἐμβῶναι. φέρονται δὲ ἐπὶ τὴν ἀπειθῆ καὶ σκολιὴν τρηχυβατεῦντες, καταφερόμενοι καὶ προσκόπτοντες· οἱ δὲ πλεῖστοι, ἀποπίπτοντες· καὶ ἀσθμαίνοντες, ὡς διωκόμενοι ἐρίζοντες, ὑστερέοντες, προη-

γενόμενοι. καὶ οἷς μὲν αὐτέων ἔρωτες ἀτάσθαλοι ὑποπεπρήκασιν, ἀλλοτρίης φῶρας εὐνῆς, ἀναιδείῃ πισυνοῖς· οἷς δὲ τήκει φιλαργυρίη, νοῦσος ἀόριστος· οἱ δὲ ἀλλήλοισιν ἐπιτίθενται· οἱ δὲ ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀναχθέντες, βερέθει κακίης εἰς βυθὸν ἀπωλείης καταφέρονται. κατασκάπτουσιν, ἐποικοδομέοντες· χαρίζονται, εἶτα μετανοεῦσι, καὶ ἀφαιρέονται τὰ φιλίης δίκαια· κακοπραγέοντες εἰς ἔχθρην, τὰ συγγενείης κακοποιεῦντες· καὶ τούτων αἴτιον ἡ φιλαργυρίη. τί νηπίων ἀθυρεόντων διαφέρουσι, παρ' οἷσιν ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν, τερπνόν; ἐν δὲ τοῖσι θυμοῖς, τί πλεῖον ζώοις ἀλόγοισι παραλελοίπασι; πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λεόντων εἰς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψᾷ μὲν ἄγριος σῦς ὅσον ὕδατος κορεσθῇ· λύκος δὲ, δαρδάψας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ συναπτομένῃσιν οὐκ ἔχει θοίνης κόρον ὁ ἄνθρωπος. χρόνων μὲν ἐνιαυσίων τάξις, ὀχείης ἀλόγων ἐστὶ τέρμα· ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες, μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα, ὅτι συμφερόντως ἀποκέκλεισται; μάλιστα δ' αὖ ῥιψοκινδυνῇ καὶ φέρηται κατὰ βυθῶν ἢ κρημνῶν πελάγοις, ἐπιτενῶ τὸν γέλωτα. μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα καὶ μεμφό-



μενον τῇ θαλάσσῃ ὅτι κατεβύθισε τὴν πλήρη; ἐγὼ μὲν οὐκ ἀξίως δοκέω γελᾶν· ἐξευρεῖν δὲ κατ' αὐτῶν ἤθελόν τι λυπηρόν· ἀλλ' οὐ δὲ ἰητρικὴν ὑπὲρ τούτων ἐξευρεῖν ἔστι μὴ τεχνωμένην παιώνια φάρμακα. ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσία σοι γινέσθω· σώζων ἀνθρώπους, κεραυνοῖσιν εὐχαριστεῖται. οὐχ ὁρῇς ὅτι κἀγὼ τῆς αὐτῆς μοίρης εἰμί; μανίης διζήμενος αἰτίην, καὶ ζῶα κατακλείνω καὶ ἀνατέμνω. ἐξευρεῖν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται, καὶ ἄπειρα κατ' αὐτοῦ πάθεα συνήθροισεν; ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι· τρεφόμενος, ἄχρηστος, ἱκέτης βοηθείας· αὐξανόμενος, ἀτάσθαλος· ἄφρων διὰ χρεὸς παιδαγωγίης. θρασὺς, ἀκμάζων· παρακμάζων, οἰκτρός· τοῖς ἰδίοις χρόνοις ἀλογιστίῃ γεωργίσας. ἐκ μητρώων γὰρ λύθρων ἐξέθορε τοιοῦτος. διὰ τοῦτο καὶ οἱ μὲν, θυμικοὶ, καὶ ὀργῆς ἀμέτρου γέμοντες· οἱ δ' ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντός· οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων, οἱ δ' ἐν ἀπωλείῃ τῶν σφετέρων. ὤφελε δύναμις ὑπῆρχε, τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα, μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ' οὕτως ὁρᾶν τὰ πρησσόμενα ἔνδον. εἴδομεν ἂν, τοὺς μὲν, ἐσθίοντας· οὓς δὲ, ἐμέοντας· ἑτέρους δὲ, αἰκίῃσι στρεβλοῦντας· τοὺς δὲ, φάρμακα κυκέοντας· τοὺς δὲ, συννοεῦντας ἐπιβουλήν· τοὺς δὲ, ψηφίζοντας. ἄλλους, χαίροντας· τοὺς δὲ, κλαίοντας.

οἱ δὲ, ἐπὶ κατηγορίην ἑῶν φίλων συγγράφοντας· οἱ δὲ, διὰ φιλοδοξίην ἔκφρονας. καίτοι γε βαθύτεραι πρήξιες τῶν κατὰ ψυχὴν κινευμένων. καὶ τούτων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτεῦντες, ἀρνεύμενοι· πενόμενοι, πλουσιάζοντες· λιμῷ θλιβόμενοι, οἱ δὲ, ἀσωτίῃ βεβαρημένοι· ῥυπόωντες, δέσμιοι, οἱ δὲ, τρυφῇσι γαυριῶντες. τρέφοντες, ἄλλοι δὲ, θάπτοντες· ὑπερορέοντες ἃ ἔχουσι, πρὸς τὰς ἐλπιζομένας πρήξιας ὁρμώμενοι. οἱ μὲν, ἀναίσχυντοι, οἱ δὲ, φειδωλοί· οἱ δὲ, ἄπληστοι. οἱ μὲν, φονεύοντες· οἱ δὲ, τυπτόμενοι. οἱ δὲ, ὑπερηφανέοντες· οἱ δὲ, ἐπαιρόμενοι κενοδοξίῃ· καὶ οἱ μὲν, ἵπποισι παρεστῶτες· οἱ δὲ, ἀνδράσιν, οἱ δὲ, κυσίν· οἱ δὲ λίθοισιν ἢ ξύλοισι· καὶ οἱ μὲν, πρεσβείῃσιν, οἱ δὲ στρατηγίῃσιν, οἱ δὲ ἱερωσύνῃσιν. οἱ δὲ, στεφανηφορέοντες, οἱ δὲ, ἐν ὅπλοισιν, οἱ δὲ, ἀποκτιννύμενοι. φέρονται δὲ τούτων ἕκαστοι, οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ, ἐπὶ στρατηγίην· οἱ δὲ, ἐπ' ἀγροικίην· ἕτεροι δὲ, ἐπὶ νῆας, οἱ δὲ, ἐπ' ἀγορήν· οἱ δὲ, ἐπ' ἐκκλησίην· οἱ δὲ, ἐπὶ θέητρον· οἱ δὲ, ἐς φυγαδείην. ἄλλοι ἀλλαχόσε· οἱ μὲν ἐς φιληδονίην καὶ ἡδυπαθείην καὶ ἀκρασίην· οἱ δὲ, ἐς ἀργίην καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν καὶ τὰς δυστήνους σπουδὰς τοιαύτας ὁρῶντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὴν ἀκρασίην ἔχοντα βίον αὐτῶν; κάρτα γὰρ ἔλπομαι μηδὲ τὴν σὴν ἰητρικὴν ἁνδάνειν αὐτοῖς. δυσαρεστοῦνται γὰρ ἀκρησίῃ, καὶ μανίην τὴν σοφίην νομίζουσιν. ἤκουσα γὰρ ὑπὸ νοσεύντων σαφέως



λωβάζεσθαί σου τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι' ἀχαριστίην. οἵτε γὰρ νοσέοντες, ἅμα τῷ σώζεσθαι, τὴν αἰτίην ἢ θεοῖσιν ἢ τύχῃ προσνέμουσι· πολλοὶ δὲ τῇ φύσει προσψαύσαντες, ἐχθραίνουσι τὸν εὐεργετήσαντα, μικροῦ δεῖν προσαγανακτέοντες εἰ νομίζονται χρεωφειλέται. οἵτε πολὺ τὸ τῆς ἀτεχνίης ἐν ἑαυτοῖς ἔχοντες, ἀΐδριές τε ὄντες, καθαιροῦσι τὸ κρεῖσσον. ἐν ἀναισθήτοισι γάρ εἰσιν αἱ ψῆφοι. οὔτε δὲ οἱ πάσχοντες ἐξομολογέειν ἐθέλουσιν, οὔτε οἱ ὁμοτεχνέοντες μαρτυρεῖν. φθόνος γὰρ ἐνίσταται. οὐκ ἄπειρος οὖν τῶν τοιούτων λεσχέων, ταῦτα σαφέως εἰδὼς ἐν ἀναξιοπαθείῃσι σὲ πολλάκις γενηθέντα, καὶ δι' οὐσίην τε καὶ βασκανίην φιλοπόθαστον. ἀτρεκίης γὰρ οὐδεμιῆς γνῶσις, οὔτε μαρτυρίη. λέγων ταῦτα ἐπεμειδία· καί μοι Δαμάγητε θεοειδής τις κατεφαίνετο· καὶ τὴν προτέρην αὐτοῦ μορφὴν ἐξελελήσμην. καί φημι, Ὦ Δημόκριτε μεγαλόξενε. μεγάλας γὰρ τῶν σῶν ξενίων δωρεὰς εἰς Κῶν ἀποίσομαι. πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας. ἀπονοστέω τε σεῦ κήρυξ, ἀληθείην ἀνθρωπίνης φύσιος ἐξιχνεύσαντος καὶ νοήσαντος καὶ λαλήσαντος· θεραπείην τε λαβὼν παρὰ σεῦ τῆς ἐμῆς διανοίης, ἀπαλλάττομαι, τῆς ὥρης τοῦτ' ἀξιούσης καὶ τῆς τοῦ σώματος τημελείης. αὔριον δὲ καὶ κατὰ τὸ ἑξῆς ἐν ταὐτῷ γενησόμεθα. ἀνιστάμην ταῦτ' εἰπών· καὶ ὃς ἕτοιμος ἦν ἐπακο-

λουθεῖν. προσελθόντι δέ τινι, οὐκ οἶδ᾽ ὅθεν, ἐπεδίδου τὰ βιβλία· κἀγὼ συντονώτερον ἐπείξας, πρὸς τοὺς ὄντας Ἀβδηρίτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με, ἄνδρες (ἔφην) τῆς πρὸς ἐμὲ πρεσβείης χάρις πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μόνον δυνάμενον. ταῦτα ἔχω σοι περὶ Δημοκρίτου Δαμάγητε φράζειν, γηθόσυνος πάνυ.

Ἔρρωσο.



# ἘΜΠΕΔΟΚΛΈΟΥΣ

## ΒΊΟΣ.

## ἘΚ ΤΩ͂Ν ΔΙΟΓΈΝΟΥΣ Λαερτίου, ἐν τοῖς φιλοσόφων βίοις.

Ἐμπεδοκλῆς (ὥς φησιν Ἱππόβοτος) Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους, Ἀκραγαντῖνος. τὸ δ᾽ αὐτὸ καὶ Τίμαιος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν ἱστοριῶν, ἐπίσημον ἄνδρα γεγονέναι τὸν Ἐμπεδοκλέα, τὸν πάππον τοῦ ποιητοῦ. ἀλλὰ καὶ Ἕρμιππος τὰ αὐτὰ τούτῳ φησίν· ὁμοίως καὶ Ἡρακλείδης ἐν τῷ περὶ νόσων, ὅτι λαμπρᾶς ἦν οἰκίας, ἱπποτροφηκότος τοῦ πάππου. λέγει δὲ καὶ Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις τὴν πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα· μάρτυρι χρώμενος Ἀριστοτέλει. Ἀπολλόδωρος δὲ ὁ γραμματικὸς ἐν τοῖς χρονικοῖς φησίν, ὡς ἦν Μέτωνος μὲν υἱός· εἰς δὲ Θουρίους αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους Γλαῦκος ἐλθεῖν φησίν. εἶτ᾽ ὑποβάς, Οἱ δ᾽ ἱστοροῦντες ὡς οἴκοθεν πεφευγὼς εἰς τὰς Συρακούσας, μετ᾽ ἐκείνων ἐπολέμει πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι δοκοῦσιν. ἢ γὰρ οὐκ ἔτ᾽ ἦν, ἢ παντελῶς ὑπεργεγηρακώς· ὅπερ οὐ φαίνεται. Ἀριστοτέλης γὰρ αὐτόν, ἔτι τε Ἡράκλειτος, ἑξήκοντα ἐτῶν φησὶ τετελευτηκέναι. ὁ δὲ πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς κέλητι, τούτου πάντως ἦν ὁμώνυμος· ὥστε ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι. Σάτυρος δ᾽ ἐν τοῖς βίοις φησὶν ὅτι Ἐμπεδοκλῆς, υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον. ἐπί τε τῆς αὐτῆς Ὀλυμπιάδος, τὸν μὲν ἵππῳ κέλητι νενικηκέναι· τὸν δ᾽ υἱὸν αὐτοῦ, πάλῃ, ἢ (ὡς Ἡρακλείδης ἐν τῇ ἐπιτομῇ) δρόμῳ. ἐγὼ δ᾽ εὗρον ἐν τοῖς

ὑπομνήμασι Φαβωρίνου, ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων· καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. Τηλαύγης δὲ ὁ Πυθαγόρου παῖς, ἐν τῇ πρὸς Φιλόλαον ἐπιστολῇ φησὶ τὸν Ἐμπεδοκλέα Ἀρχινόμου εἶναι υἱόν. ὅτι δὲ ἦν Ἀκραγαντῖνος ἐκ Σικελίας, αὐτὸς ἐναρχόμενος τῶν καθαρμῶν φησιν,

Ὦ φίλοι οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως.

καὶ τὰ μὲν περὶ τοῦ γένους αὐτοῦ τάδε. ἀκοῦσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διὰ τῆς ἐνάτης ἱστορεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπείᾳ ποτέ, (καθὰ καὶ Πλάτων) τῶν λόγων ἐκωλύθη μετέχειν. μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου, λέγοντα,

Ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,
Ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον.

οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα. φησὶ δὲ Νεάνθης ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων· ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίευσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῷ. τὸ δ' αὐτὸ καὶ Πλάτωνα φασὶ παθεῖν· καὶ γὰρ τοῦτον κωλυθῆναι. τίνος μέντοι γε αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς, οὐκ εἶπεν. τὴν γὰρ περιφερομένην πρὸς Τηλαύγη ἐπιστολήν, ὅτι μετέσχεν Ἱππάσου καὶ Βροντίνου, μὴ εἶναι ἀξιόπιστον. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι, καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως λόγον ἐξενεγκεῖν. Ἕρμιππος δέ, οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν· ᾧ καὶ συνδιατρῖψαι, καὶ μιμήσασθαι τὴν ἐποποιΐαν. ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Ἀλκιδάμας δ' ἐν τῷ φυσικῷ φησὶ κατὰ τοὺς αὐτοὺς χρόνους Ζήνωνα καὶ Ἐμπεδοκλέα ἀκοῦσαι Παρμενίδου· εἶθ' ὕστερον ἀποχωρῆσαι· καὶ τὸν μὲν Ζήνωνα κατ' ἰδίαν φιλοσοφῆσαι· τὸν δέ, Ἀναξαγόρου διακοῦσαι καὶ Πυθαγόρου. καὶ τοῦ



μὲν τὴν σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ σχήματος, τοῦ δὲ τὴν φυσιολογίαν. Ἀριστοτέλης δὲ ἐν τῷ Σοφιστῇ φησί, πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν· Ζήνωνα δέ, διαλεκτικήν. ἐν δὲ τῷ περὶ ποιητῶν, φησὶν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τε ὤν, καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος. καὶ διότι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα, τήν τε τοῦ Ξέρξου διάβασιν, καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ, ἡ θυγάτηρ, (ὥς φησιν Ἱερώνυμος) τὸ μὲν προοίμιον, ἄκουσα· τὰ δὲ Περσικά, βουληθεῖσα, διὰ τὸ ἀτελείωτα εἶναι. καθόλου δέ φησι καὶ τραγῳδίας αὐτὸν γράψαι, καὶ πολιτικά. Ἡρακλείδης δὲ ὁ τοῦ Σαραπίωνος, ἑτέρου φησὶν εἶναι τὰς τραγῳδίας. Ἱερώνυμος δέ φησιν αὐτὸν τρισὶ καὶ τετταράκοντα ἐντετυχηκέναι· Νεάνθης δέ, νέον ὄντα γεγραφέναι τὰς τραγῳδίας, καὶ αὐτὸν ἔπειτα αὐταῖς ἐντετυχηκέναι. φησὶ δὲ Σάτυρος ἐν τοῖς βίοις ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ, καὶ τέχνην ἀπολελοιπότα· ὅν φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς, ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. τοῦτον φησὶν ὁ Σάτυρος λέγειν ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω.

*Paulo post.*

Φησὶ δὲ καὶ Τίμαιος ἐν τῇ ιη' κατὰ πολλοὺς τρόπους τεθαυμάσθαι τὸν ἄνδρα. καὶ γὰρ ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι, καὶ ἀσκοὺς ποιῆσαι, πρὸς τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δέ, κωλυσανέμαν κληθῆναι. Ἡρακλείδης δὲ ἐν τῷ περὶ νόσων, φησὶ καὶ Παυσανίᾳ ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνουν.

*Aliquanto post.*

Φησὶ δ' αὐτὸν καὶ Ἀριστοτέλης ἐλεύθερον γεγονέναι, καὶ πά-

σης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο (καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει) τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας. τὰ δ' αὐτὰ καὶ Τίμαιος εἴρηκε, τὴν αἰτίαν ἅμα παρατιθέμενος τοῦ δημοτικὸν εἶναι τὸν ἄνδρα. φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων, καὶ προβαίνοντος τοῦ πότου, ὡς τὸ δεῖπνον οὐκ εἰσεφέρετο, τῶν δ' ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευσεν εἰσφέρειν. ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος, ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν. ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ εἰσαγαγὼν εἰς δικαστήριον, ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον. ἀρχὴ μὲν οὖν αὕτη τῆς πολιτείας ἤδε. πάλιν δὲ Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς εἰς κατασκευὴν πατρῴου μνήματος, διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς, ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθείς, καί τι καὶ τοιοῦτον ἐρωτήσας.

*Aliquanto pòst.*

Περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφορός ἐστιν ὁ λόγος. Ἡρακλείδης μὲν γὰρ τὰ περὶ τῆς ἄπνου διηγησάμενος, ὡς ἐδοξάσθη Ἐμπεδοκλῆς ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν, φησὶν ὅτι θυσίαν συνετέλει πρὸς τῷ Πεισιάνακτος ἀγρῷ. συνεκέκληντο δὲ τῶν φίλων τινές, ἐν οἷς καὶ Παυσανίας. εἶτα μετὰ τὴν εὐωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις, ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπῃ βούλοιντο· αὐτὸς δ' ἔμεινεν ἐπὶ τοῦ τόπου ἐφ' οὗπερ κατεκέκλιτο. ὡς δὲ ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος. ζητουμένου δέ, καὶ τῶν οἰκετῶν ἀνακρινομένων, καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα· εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον, καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν·



τῶν δὲ ἐπὶ τῷ γενομένῳ ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας ἔπεμψέ τινας ζητήσοντας· ὕστερον δὲ ἐκωλύθη πολυπραγμονεῖν, φάσκων εὐχῆς ἄξια συμβεβηκέναι· καὶ θύειν αὐτῷ δεῖν, καθαπερεὶ γεγονότι θεῷ. Ἕρμιππος δέ φησι Πάνθειάν τινα Ἀκραγαντίνην, ἀπηλπισμένην ὑπὸ τῶν ἰατρῶν, θεραπεῦσαι αὐτόν, καὶ διὰ τοῦτο τὴν θυσίαν ἐπιτελεῖν. τοὺς δὲ κληθέντας εἶναι πρὸς τοὺς ὀγδοήκοντα. Ἱππόβοτος δέ φησιν ἐξαναστάντα αὐτὸν ὡδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην· εἶτα παραγενόμενον, ἐπὶ τοὺς κρατῆρας τοῦ πυρὸς ἐναλέσθαι, καὶ ἀφανισθῆναι· βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεός. ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων. χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. πρὸς τοῦτο ὁ Παυσανίας ἀντέλεγε. Διόδωρος δὲ ὁ Ἐφέσιος περὶ Ἀναξιμάνδρου γράφων, φησὶν ὅτι τοῦτον ἐζηλώκει, τραγικὸν ἀσκῶν τῦφον, καὶ σεμνὴν ἀναλαβὼν ἐσθῆτα. τοῖς δὲ Σελινουντίοις ἐμπεσόντος λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυστοκεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα, καὶ δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ καταμίξαντα γλυκᾶναι τὰ ῥεύματα. οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ, καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῷ ποταμῷ, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς δ' ἐξαναστάντας προσκυνεῖν, καὶ προσεύχεσθαι καθαπερεὶ θεῷ. ταύτην οὖν θέλοντα διαβεβαιῶσαι τὴν διάληψιν, εἰς τὸ πῦρ ἐναλέσθαι. τούτοις δ' ἐναντιοῦται Τίμαιος, ῥητῶς λέγων ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον, καὶ τὸ σύνολον οὐκ ἐπανῆλθεν· ὅθεν αὐτοῦ καὶ τὴν τελευτὴν ἄδηλον εἶναι. πρὸς δὲ τὸν Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τὴν ἀντίρρησιν ἐν τῇ τετάρτῃ. Συρακούσιόν τε γὰρ εἶναι τὸν Πεισιάνακτα, καὶ ἀγρὸν οὐκ ἔχειν ἐν Ἀκράγαντι· Παυσανίαν τε μνημεῖον πεποιηκέναι τοῦ φίλου, τοιούτου διαδοθέντος λόγου, ἢ ἀγαλμάτιόν τι, ἢ σηκὸν οἷα θεοῦ. καὶ γὰρ πλούσιον εἶναι. Πῶς οὖν (φησὶν) εἰς τοὺς κρατῆρας ἥλατο ὧν σύνεγγυς ὄντων οὐδὲ μνείαν ποτὲ ἐπεποίητο; τετελεύτηκεν οὖν ἐν Πελοποννήσῳ. οὐ-

δεῖν δὲ παράδοξον τάφον αὐτοῦ μὴ φαίνεσθαι· μηδὲ γὰρ ἄλλων πολλῶν. τοιαῦτα τινὰ εἰπὼν ὁ Τίμαιος, ἐπιφέρει, Ἀλλὰ διὰ παντός ἐστιν Ἡρακλείδης τοιοῦτος παραδοξολόγος, καὶ ἐκ τῆς σελήνης πεπτωκέναι ἄνθρωπον λέγων. Ἱππόβοτος δέ φησιν ὅτι ἀνδριὰς ἐγκεκαλυμμένος Ἐμπεδοκλέους ἔκειτο πρότερον μὲν ἐν Ἀκράγαντι, ὕστερον δὲ πρὸ τοῦ Ῥωμαίων βουλευτηρίου, ἀκάλυφος, δηλονότι μεταθέντων αὐτὸν Ῥωμαίων. γραπταὶ μὲν γὰρ εἰσί τινες, καὶ νῦν περιφέρονται. Νεάνθης δ' ὁ Κυζικηνός, ὁ καὶ περὶ τῶν Πυθαγορικῶν εἰπών, φησί, Μέτωνος τελευτήσαντος τυραννίδος ἀρχὴν ὑποφύεσθαι. εἶτα τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῶν στάσεων, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν. ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας αὐτὸν προικίσαι διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτόν, καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν· ἔτι τε ἐμβάδας χαλκᾶς, καὶ στέμμα Δελφικόν. κόμη τε ἦν αὐτῷ βαθεῖα, καὶ παῖδες ἀκόλουθοι· καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προήει, τῶν πολιτῶν ἐντυχόντων, καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παράσημον. ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενον ἐφ' ἁμάξης ὡς εἰς Μεσσήνην, πεσεῖν καὶ τὸν μηρὸν κλάσαι· νοσήσαντα δ' ἐκ τούτου, τελευτῆσαι ἐτῶν ζ̄ καὶ ο̄. εἶναι δὲ αὐτοῦ καὶ τάφον ἐν Μεγάροις. περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης διαφέρεται. φησὶ γὰρ ἐκεῖνος ξ̄ ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δὲ θ̄ καὶ ρ̄. ἤκμαζε δὲ κατὰ τὴν δ̄ καὶ π̄ Ὀλυμπιάδα. Δημήτριος δὲ ὁ Τροιζήνιος ἐν τῷ κατὰ σοφιστῶν βιβλίῳ φησὶν αὐτόν, καθ' Ὅμηρον,

Ἁψάμενον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
Αὐχέν' ἀποκρεμάσαι, ψυχὴν δ' Ἀΐδόσδε κατελθεῖν.

ἐν δὲ τῷ προειρημένῳ Τηλαυγοῦς ἐπιστολίῳ, λέγεται αὐτὸν εἰς θάλατταν ὑπὸ γήρως ὀλισθήσαντα τελευτῆσαι. καὶ ταῦτα μὲν περὶ τοῦ θανάτου καὶ τοσαῦτα.



# ΞΕΝΟΦΆΝΟΥΣ ΒΊΟΣ.

## ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂.

Ξενοφάνης, Δεξίου, ἢ (ὡς Ἀπολλόδωρος) Ὀρθομένους, Κολοφώνιος, ἐπαινεῖται πρὸς τοῦ Τίμωνος. φησὶ γοῦν,

Ξεινοφάνη θ' ὑπάτυφον, Ὁμηραπάτην, ἐπικόπτην.

οὗτος ἐκπεσὼν τῆς πατρίδος, ἐν Ζάγκλῃ τῆς Σικελίας διέτριβε, καὶ ἐν Κατάνῃ. διήκουσε δὲ κατ' ἐνίους μέν, οὐδενός· κατ' ἐνίους δέ, Βότωνος Ἀθηναίου· ἢ (ὥς τινες) Ἀρχελάου. καὶ (ὡς Σωτίων φησὶ) κατ' Ἀναξίμανδρον ἦν. γέγραφε δὲ καὶ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῇ καὶ Πυθαγόρᾳ, καθάψασθαι δὲ καὶ Ἐπιμενίδου. μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν,

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
Βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν.
Ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι, πέντε τε πρὸς τοῖς,
Εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, ἀπαραλλάκτους δέ. τὰ νέφη συνίστασθαι, τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης, καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. οὐσίαν θεοῦ, σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ. ὅλον δὲ ὁρᾶν, καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν. σύμπαντά τε εἶναι νοῦν, καὶ φρόνησιν, καὶ ἀΐδιον. πρῶτός τε ἀπεφήνατο ὅτι πᾶν τὸ γινόμενον, φθαρτόν ἐστι· καὶ ἡ ψυχή, πνεῦμα. ἔφη δὲ καὶ τὰ πολλὰ ἥττω νοῦ εἶναι· καὶ τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα, ἢ ὡς ἥδιστα.

Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῷ ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός, Εἰκότως, ἔφη. σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν. φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα, πλανώμενος. ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν, καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμόν, ἔπη δισχίλια. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα. φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ περὶ γήρως, καὶ Παναίτιος ὁ Στωϊκὸς ἐν τῷ περὶ εὐθυμίας, ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν, καθάπερ καὶ Ἀναξαγόραν. δοκεῖ δὲ πεπρᾶσθαι ὑπὸ τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν ἀπομνημονευμάτων πρώτῳ. γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης, Λέσβιος, ποιητὴς ἰάμβων. καὶ οὗτοι μὲν οἱ σποράδην. Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος, Ἐλεάτης.

# ΠΑΡΜΕΝΙ´ΔΟΥ

## ΒΙ´ΟΣ.

## ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΥΤΟΥ͂.

Τοῦτον Θεόφραστος ἐν τῇ ἐπιτομῇ Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι. ὅμως δ' οὖν ἀκούσας καὶ Ξενοφάνους, οὐκ ἠκολούθησεν αὐτῷ. ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ καὶ Διοχαίτῃ τῷ Πυθαγορικῷ, (ὡς ἔφη Σωτίων) ἀνδρὶ πένητι μέν, καλῷ δὲ καὶ ἀγαθῷ· ᾧ καὶ μᾶλλον ἠκολούθησε, καὶ ἀποθανόντος ἡρῷον ἱδρύσατο. γένους τε ὑπάρχων λαμπροῦ καὶ πλούσιος, ὑπὸ Ἀμεινίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη. πρῶτος δὲ οὗτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ, καὶ ἐν μέσῳ κεῖσθαι. δύο τε εἶναι στοιχεῖα, πῦρ καὶ γῆν. καὶ τὸ μὲν, δημιουργοῦ τάξιν ἔχειν· τὴν δέ, ὕλης. γένεσίν τε ἀνθρώπων ἐξ ἡλίου πρῶτον γενέσθαι. αὐτὸν δὲ ὑπάρ-



χειν τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐξ ὧν τὰ πάντα συνεστάναι. καὶ τὴν ψυχὴν καὶ τὸν νοῦν ταὐτὸν εἶναι· καθὰ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς φυσικοῖς, πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. διττήν τε ἔφη εἶναι τὴν φιλοσοφίαν· τὴν μέν, κατὰ ἀλήθειαν· τὴν δέ, κατὰ δόξαν. διὸ καὶ φησί που,

--χρεὼ δέ σε πάντα πυθέσθαι,
Ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ,
Ἠδὲ βροτῶν δόξας, τῶν οὐκ ἔπι πίστις ἀληθής.

καὶ αὐτὸς δὲ διὰ ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς. κριτήριον δὲ τὸν λόγον εἶπε· τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. φησὶ γοῦν,

Μή σε θεὸς πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω
Νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν,
Καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον.

διὸ καὶ περὶ αὐτοῦ φησιν ὁ Τίμων,

Παρμενίδου τε βίην μεγαλόφρονα, τὸν πολύδοξον,
Ὅς ῥ' ἐπὶ φαντασίας ἀπάτης ἀνενείκατο νώσεις.

εἰς τοῦτον καὶ Πλάτων τὸν διάλογον γέγραφε, Παρμενίδην ἐπιγράψας, ἢ Περὶ ἰδεῶν. ἤκμαζε δὲ κατὰ τὴν θ καὶ εἰκοστὴν Ὀλυμπιάδα. καὶ δοκεῖ πρῶτος πεφωρακέναι, τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτῳ τῶν ἀπομνημονευμάτων· οἱ δέ, Πυθαγόραν. Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα. λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ περὶ φιλοσόφων· καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τεχνογράφος.

# ΚΛΕΑ'ΝΘΟΥΣ.

## ΒΙ'ΟΣ.

### ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΥΤΟΥ͂.

Κλεάνθης, Φανίου, Ἄσσιος. οὗτος πρῶτον ἦν πύκτης, ὥς φησιν Ἀντισθένης ἐν διαδοχαῖς· ἀφικόμενος δὲ εἰς Ἀθήνας, τέσσαρας ἔχων δραχμὰς (καθά φασι τινὲς) καὶ Ζήνωνι παραβαλὼν, ἐφιλοσόφησε γενναιότατα, καὶ ἐπὶ τῶν αὐτῶν ἔμεινε δογμάτων. διεβοήθη δὲ ἐπὶ φιλοπονίᾳ, ὥς γε πένης ὢν ἄγαν, ὥρμησε μισθοφορεῖν· καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. φασὶ δὲ αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον εὐέκτης ὢν διαζῇ· ἔπειτα ἀποφυγεῖν, τόν τε κηπουρὸν μάρτυρα παρασχόντα παρ' ὃν ἤντλει, καὶ τὴν ἀλφιτόπωλιν, παρ' ᾗ τὰ ἄλφιτα ἔπεττεν. ἀποδεξαμένους δὲ αὐτὸν τοὺς Ἀρεοπαγίτας, ψηφίσασθαι δέκα μνᾶς δοθῆναι· Ζήνωνα δὲ κωλῦσαι λαβεῖν. φασὶ δὲ καὶ Ἀντίγονον αὐτῷ τρισχιλίας δοῦναι. ἡγούμενόν τε τῶν ἐφήβων ἐπί τινα θέαν, ὑπ' ἀνέμου παραγυμνωθῆναι, καὶ ὀφθῆναι ἀχίτωνα· ἐφ' ᾧ κρότῳ τιμηθῆναι ὑπὸ Ἀθηναίων, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις. ἐθαυμάσθη οὖν δὴ καὶ διὰ τόδε. φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι, ὄντα ἀκροατὴν, διὰ τί ἀντλεῖ· τὸν δὲ εἰπεῖν, Ἀντλῶ γὰρ μόνον; τί δ' οὐχὶ σκάπτω; τί δ' οὐκ ἄρδω, καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα; καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο, ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς. καί ποτε ἀθροισθὲν τὸ κέρμα ἐκόμισεν εἰς μέσον τῶν γνωρίμων, καί φησι, Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο· οἱ δὲ ἔχοντες ὅθεν τραφήσονται, παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες. ὅθεν δὴ καὶ δεύτερος Ἡρακλῆς ὁ Κλεάνθης ἐκαλεῖτο. ἦν δὴ πονικὸς μὲν, ἀφύσικος δὲ, καὶ βραδὺς ὑπερβαλλόντως. διὸ καὶ Τίμων περὶ αὐτοῦ φησὶν οὕτως,



Τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν,
Μωλύτης, ἐπέων φίλος, Ἄσσιος, ὅλμος, ἄτολμος;

καὶ σκωπτόμενος δὲ ὑπὸ τῶν συμμαθητῶν ἠνείχετο, καὶ ὄνος ἀκούων προσεδέχετο· λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον.

*Aliquanto post.*

Καὶ τελευτᾷ τόνδε τὸν τρόπον. διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς. καί πως ἔσχε καλῶς, ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν· τὸν δὲ, μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προωδοιπορῆσθαι, καὶ τὰς λοιπὰς ἀνασχόμενον, τελευτῆσαι· ταὐτὰ Ζήνωνι (καθά φασι τινὲς) π' ἔτη βιώσαντα, καὶ ἀκούσαντα Ζήνωνος ἔτη ἐννεακαίδεκα.

# ἘΠΙΧΑ'ΡΜΟΥ

## ΒΙ'ΟΣ.

### ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΥΤΟΥ͂.

Ἐπίχαρμος, Ἡλοθαλοῦ, Κῷος· καὶ οὗτος ἤκουσε Πυθαγόρου. τριμηνιαῖος δὲ ὑπάρχων, ἀπηνέχθη τῆς Σικελίας εἰς Μέγαρα· ἐντεῦθεν δὲ εἰς Συρακούσας, ὥς φησι καὶ αὐτὸς ἐν τοῖς συγγράμμασι. καὶ αὐτῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγέγραπται τόδε,

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,
Καὶ πόντος ποταμῶν μείζον' ἔχει δύναμιν·
Φημὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
Ὃν πατρὶς ἐστεφάνωσ' ἅδε Συρακοσίων.

ἐστὶ ὑπομνήματα καταλέλοιπεν, ἐν οἷς φυσιολογεῖ, γνωμολογεῖ, ἰατρολογεῖ. καὶ παρασιγίδιά γε τοῖς πλείστοις τῶν ὑπομνημάτων πεποίηκεν, οἷς διασαφεῖ ὅτι αὐτοῦ ἐστι τὰ συγγράμματα. βιοὺς δὲ ἔτη ἐνενήκοντα, κατέστρεψεν τοῦ ζῆν.

# ΤΊΜΩΝΟΣ

## ΒΊΟΣ.

### ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΥΤΟΥ͂.

Σίμων Ἀπολλωνίδης ὁ Νικαεὺς, ὁ παρ' ἡμῶν, ἐν τῷ πρώτῳ τῶν εἰς τοὺς Σίλλους ὑπομνημάτων, ἃ προσφωνεῖ Τιβερίῳ Καίσαρι, φησὶ τὸν Τίμωνα εἶναι πατρὸς μὲν Τιμάρχου, Φλιάσιον δὲ τὸ γένος· νέον δὲ καταλειφθέντα χορεύειν, ἔπειτα καταγνόντα, ἀποδημῆσαι εἰς Μέγαρα πρὸς Στίλπωνα· κἀκείνῳ συνδιατρίψαντα, αὖθις ἐπανελθεῖν οἴκαδε, καὶ γῆμαι. εἶτα πρὸς Πύρρωνα εἰς Ἦλιν ἀποδημῆσαι μετὰ γυναικὸς, κἀκεῖ διατρίβειν, ἕως αὐτῷ παῖδες ἐγένοντο. ὧν τὸν μὲν πρεσβύτερον, Ξάνθον ἐκάλεσε, καὶ ἰατρικὴν ἐδίδαξε, καὶ διάδοχον τοῦ βίου κατέλιπε. ὁ δὲ, ἐλλόγιμος ἦν, ὡς καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ φησίν. ἀπορῶν μέντοι τροφῶν, ἀπῆρεν εἰς τὴν Ἑλλήσποντον καὶ τὴν Προποντίδα· ἐν Χαλκηδόνι τε σοφιστεύων, ἐπιπλέον ἀποδοχῆς ἠξιώθη. ἐντεῦθέν τε πορισάμενος, ἀπῆρεν εἰς Ἀθήνας· κἀκεῖ διέτριβε μέχρι καὶ τελευτῆς, ὀλίγον χρόνον εἰς Θήβας διαδραμών. ἐγνώσθη δὲ καὶ Ἀντιγόνῳ τῷ βασιλεῖ καὶ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, ὡς αὐτὸς ἐν τοῖς ἰάμβοις αὐτομαρτυρεῖ· ἦν δὲ (φησὶν Ἀντίγονος) καὶ φιλοπότης, καὶ ἀπὸ τῶν φιλοσόφων ἐσχόλαζε. καὶ γὰρ ποιήματα συνέγραφε, καὶ ἔπη, καὶ τραγῳδίας, καὶ σατύρους, καὶ δράματα κωμικὰ τριάκοντα, τραγικὰ δὲ ἑξήκοντα, Σίλλους τε καὶ κιναίδους. φέρεται δὲ αὐτοῦ καὶ καταλογάδην βιβλία, εἰς ἐπῶν τείνοντα μυριάδας



δύο, ὧν καὶ Ἀντίγονος ὁ Καρύστιος μέμνηται, ἀναγεγραφὼς αὐτοῦ καὶ αὐτὸς τὸν βίον. τῶν δὲ Σίλλων τρία ἐστίν· ἐν οἷς, ὡς ἂν σκεπτικὸς ὢν, πάντας λοιδορεῖ, καὶ σιλλαίνει τοὺς δογματικοὺς, ἐν παρῳδίας εἴδει. ὧν τὸ μὲν πρῶτον, αὐτοδιήγητον ἔχει τὴν ἑρμηνείαν· τὸ δὲ δεύτερον καὶ τρίτον, ἐν διαλόγου σχήματι. φαίνεται γοῦν ἀνακρίνων Ξενοφάνην τὸν Κολοφώνιον περὶ ἑκάστων· ὁ δὲ, αὐτοδιηγούμενος ἐστί. καὶ ἐν μὲν τῷ δευτέρῳ, περὶ τῶν ἀρχαιοτέρων· ἐν δὲ τῷ τρίτῳ, περὶ τῶν ὑστέρων. ὅθεν δὴ αὐτῷ τινὲς καὶ ἐπίλογον ἐπέγραψαν. τὸ δὲ πρῶτον ταῦτα περιέχει πράγματα, πλὴν ὅτι μονοπρόσωπος ἐστὶν ἡ ποίησις. ἀρχὴ δὲ αὐτῷ ἥδε,

Ἕσπετε νῦν μοι ὅσοι πολυπράγμονες ἐστὲ σοφισταί.

ἐτελεύτησε δὲ ἐγγὺς ἐτῶν ἐνενήκοντα, ὥς φησιν ὁ Ἀντίγονος, καὶ Σωτίων καὶ ἐν τῷ ἑνδεκάτῳ. τοῦτον ἐγὼ καὶ ἑτερόφθαλμον ἤκουσα, ἐπεὶ καὶ αὐτὸς αὐτὸν Κύκλωπα ἐκάλει.

# IN EMPEDOCLIS ET ALIORUM carmina notæ Iosephi Scaligeri.

Pag. 18, verſu vlt. Κἄν τε θεοὶ] Lego, Κ᾽ἀντίθεοι δολιχαίωνες. hoc eſt ἥρωες. nam (vt annotat Ariſtoteles) οἱ θεοὶ hîc non concluduntur.

Pag. 20, verſ Στεινωποὶ μὲν] Omnia hæc quæ adducuntur ex Sexto, coniungenda. nihil enim ex veteri ordine amiſerunt, ſed tantùm interrupta ſunt verbis ipſius Sexti.

V. Πολλὰ ὃ] Lege, Πολλὰ δὲ δειλὰ ἔπειτα, πάτ᾽ &c.

V. Παῦρον] Lego, Παῦρον δὲ ζωῆς ἀβίου μέρος ἀθρήσαντες, ὠκύμοροι &c.

V. Ἀλλὰ θεοὶ] Lege, ἀποτρέψατε.

Pag. 21, v. Πρὸς θνατῶν] Lege, -- ἐφ᾽ ὧ θ᾽ ὁσίη πλέον.

V. Θάρσει] Lege θοάσσεις.

Pag. 22. verſ. Πρὶν δ᾽] Lege, λυθέντ᾽. vt παγέντε.

Pag. 25, verſ. Δαίμονες] μακραίωνος.

Verſ. Τὴν] Lege, Τῶν.

Pag. 26, verſ. Οἶνος ἀπ᾽] Lege, Οἶον ἀπ᾽.

Pag. 27, verſ. Ὦ φίλοι] Lege, ἔτ᾽ ἀληθείη &c.

Pag. 28, v. Εὄντες ἀνδρ.] Lege, Εὔνιες ἀνδρείων ἀχέων, ἀπόκληροι, ἀπειρεῖς.

Pag. 29, verſ. Ἐκ μὲν] Lege εἴδε᾽ ἀμείβων. Intelligit enim τὴν γένεσιν ἐκ τῆς ἀλλοιώσεως, non ἐκ τῆς μεταβολῆς fieri, quum dicit formam tantùm mutari.

Verſ. Ὢ πόποι] Scribo, ὢ δειλὸν θνητ.

V. Ὦ δε.] Verba ſunt Clementis.

Pag. 30. verſ. Ταύρων] Scribe, ἀκρήτοισι φόνοις.

Verſ. Οὐ πόδες] Lege, γοῦν᾽, οὐ μήδεα λαχν.

Pag. 37. verſ. Ἀστοῖσι] κυδρότερος.

Verſ. Καί κε] Lego, Καί κε τι οἱ εἴη. vel, Καί κε οἱ εἴτ᾽ εἴη. magis arridet prior.

Pag. 38, v. ὡς ἡ] Diſtingo: ὡς, Ἡ μνημοσύνη. καὶ τὴν, Ὅς ἐμφ. ſunt enim nomina ſcoliorũ quæ canebantur in conuiuiis, vt puto.



Pag. 39, verſ. Φενδόνας] Legendum, οὐδὲ * φλεδόνας, τοῖς οὐδὲν χρηστὸν ἔνεστι. Φλεδόνες, nugæ. Timon, Ἀλλ᾽ οὐδὲν τούτων φλεδόνων μέλει.

Verſ. Θεῶν] Lege, Θεῶν δέ.

Pag. 41, verſ. Δαίμονος] Locus corruptus.

Verſ. Ἄξων] Lege, Ἄξων δ᾽ ἐν χνοίῃσι * σύριγγος ἀΰτει.

Pag. 42, verſ. Τῶν δὲ] Lege, δίκη πολύποιν.

Verſ. Γόμφοις] Lege, ἀρηρότας. ἦ ῥα &c.

Verſ. Ἵπποι] Lege, ἵκανον ἐς ἡμέτερον δῶ.

Pag. 44. verſ. Ἔργα] Lege, περίφοιτα.

V. Ἔνθεν] Diſtingue & corrige ita, Ἔνθεν ἔφυγε, καὶ ὥς μιν ἀγυιοσ᾽ ἐπέδησεν ἀνάγκη Πείρατ᾽ ἔχειν ἄστρων.

Verſ. Οὔτι βεβαιότερον] Lego, πλέθειν χρεὼ ἐστι &c.

Sic pag. 45, verſ. Ἡδ᾽ ὡς] χρεὼ, non χρεών. quanquam χρεὼν excuſari poteſt: ſed χρεὼ eſt magis poeticum.

V. Νυκτὶ φάος] Νυκτιφαές.

Pag. 49. verſ. Χαῖρε] Παίπαλα.

Verſ. Ἐκ σοῦ] Lege, ὄχου μίμημα. Corpus enim ὄχημα ψυχῆς.

Verſ. Σοὶ δὲ] Σοὶ δή.

Pag. 50, verſ. Ἀνθρώποις] Aut μὲν ῥύου, aut ῥύσασθαι.

Pag. 51, verſ. Ἔντιμον] Ita diſtingue.

Ἔντιμον, ὁμολογούμενον * *

Εὐκλεὲς, ἄτυφον, ἐπιμελὲς, πρᾶον, σφοδρὸν,

Χρονιζόμενον, ἄμεμπτον, ἀεὶ διαμένον.

Pag. 52. verſ. Βασιλικὸ] Lego, Βασιλικόν. εὖγε. πλὴν &c.

Pag 56, verſ. Ὥσπερ] Ὥσπερ γε ταῖς αὐλήσεσιν.

Pag. 57, verſ. Οἶνος] Οἶνος δ᾽ ἐγὼ κάλλιστον ἐστιν, ὗς δ᾽ ὕει.

Pag. 62, verſ. Ἐστὶν] Lego, ἄλλον ἀπ᾽ ἀνθρώπων. etiam probatur ex verbis Sexti.

Pag. 66, verſ. Λῆρον] Legendum ἀφερασβόμβαξ, per α, non per ο.

Pag. 74. verſ. Καί συ] Legendum, - καὶ γάρ σε μαθητύος εὖ πόθος ἴσχε.

V.Ὅθεν] Ἔνθεν ἀπαρχόμενος τοιαῦτα γράφειν ἐδιδάχθης.

Pag.75.v.Θέσθαι] Ita diſtinguendum,

* * θέσθαι κολαστὰς, ἵνα δίκη

Τύραννος εἴη, τὴν δ' ὕβριν δούλην ἔχοι. Videndum num expleri poſsit, —νόμους

Ἁμαρτιῶν θέσθαι κολαστὰς, &c.

Pag.75, v. Γνῶναι] Lego, Γνῶναι δέος θνητοῖσιν. δέος enim τὴν δεισιδαιμονίαν vocat: vt Lucretius & Virgil. religionem vocant Metum.

V.πράσσωσιν] Lego, ἢ φρονῶσί τι.

P.76.v.ὑφ' οὗ] Dele hæc, ταῦ μὲν.

V.δρώμενον] Lege τὸ δράμενον.

V.Τοιούτοις] Lege Τούτοις δὲ παρελέστησεν.

V.Τὸν δαίμονα] Suſpicor, Τὸν δαίμον' οὕτως.

Pag.79, verſ.Λοιπόν] Lege Λιτόν. Sibi enim ſoli dicit obtendi ſubtiliſsimū velum, reliquis δέκα πτύχας.

Verſu, Ὡς λόγος] Lego ὑδογενὴς pro ὑδατογενής. Quin & poetæ dicunt ὕδος pro ὕδωρ. Intelligit ſine vllo dubio Moſem: quem omnes tam Hebræi quàm Græci veteres interpretantur ὑδατογενῆ. nam Moi Syriacè eſt aqua. quum manifeſtè Moſes ipſe dicat ſibi nomen impoſitum quòd extractus ſit ab aquis. משה extractus. non à Syriaco מי. Hoc enim ridiculum eſt: quare in eo errant & Philo & Ioſephus, & alii veteres. δίπλακα θεσμὸν vocat duplices tabellas decalogii.

Pag.82, v. Τοῦ κεφαλή] κεφαλὴ ἰδεῖν, Græciſmus.

Pag.82, v. Ἄστυπε] Lege βακχευτής. item ὀπώραις.

Pag.84, v. Ἀλλαχθείς] Dele πρός.

Pag.86, v. Ὡς ποτὲ] Lego, pro ἤελιε παῖον, ἤελιε καῖον.

Verſ.Τοιωύτεκα] Lege σὺν τῷ παντί. vt ſuprà pag.81.

Pag.87.v.Τὸ ὂν] Lege Τοῖον.

Verſu Ἑπτά] Lego, Ἑπτὰ μὲν ἀειδεῖς κούρας, καὶ παῖδας ἀΐακτας.

Verſu Θυγατέρας] Lego, Θυγατέρας, σεμνήν τε Θέμιν &c.



Pag. 88, v. Ὡς γάρ] Hic erat ordo, Ὡς δ' αὐτοὺς ἀνόησεν ἀμείλιχον ἦτορ ἔχοντας Καὶ φύσιν ὀκνομένην * * Ῥίπτε βυθῷ &c.

Verſ. Ὁρμαίνων] Lege ſine vllo dubio,

Ὁρμαίνων ποτέρωσε νόον τράποι· ἢ πατέρα ὃν

Γυώσῃ τε βίης. Id eſt, Debilitet viribus. Primus verſus eſt μείουρος: vt —ὄρνιθες ὥς. &c. Γυῶσαι eſt membra frangere, debilitare.

Pag.95, verſ.Ὄππως] Lege, παίδια σελλωαίη.

Verſ.Παιτ'] Lego, θεοφραδέ'.

Pag.97, verſ.Σφαλλόμενοι] Lego, Χοροιμανέοντος.

Verſ.Νῦν δ'] Λειβηθριάς.

Pag.99, verſ.Ἡ δ' ἐπί] Ἡ δ' ἐπὶ σοῦ εἴδησε.

Pag.101, v.Ἐκ δ' ὕδατος] Lego ex ipſo Clemente, Ἐκ βέδυος δέ τε γαῖα, &c.

Pag.105, verſ.Ἦ φῶς] Lego, ἀμφὶ λύκην ῥοιζαῖον &c.

Verſ.Ἔλπυρον] Ἔκπυρον. Item, πάλι γυμνὸν &c.

Pag.106, verſ.Ψυχή] Ψυχὴ ἐγὼ ναίω θυγάτηρ, ψήχουσα. Verba autem, κατέχει τὸ γε, ſunt Procli.

# HENRICVS STEPHANVS LECTORI.

PRAETER eos physicorum, ac præsertim Empedoclis, quos hic vides locos, aliquot inuenisse nos fateor, sed quorum singuli pauca verba, & particulas versuum potius quàm versus haberent, easque ferè mendosas. Certo igitur consilio, non incuria, fuisse prætermissos, scire te volui. Si tamẽ eos quoq; , qualescunque sunt, adiungere libuerit, siquos item alios vel nõdum editi scriptores, vel qui iam editi sunt, tibi suppeditauerint, fieri enim potest vt nonnulli nos latuerint ex iis etiam quos nequaquam omissuri fuissemus) chartas quas vacuas esse vides, hunc in vsum tibi exhiberi, & tales adiunctiones expectare, præmoneo. Sed ne contrà etiam tollendos esse aliquos arbitreris ex iis qui sub Empedoclis nomine hîc positi fuerũt, ac nominatim epigrãma de Acrone medico: fateor quidem ab Eustathio & aliis afferri tãtùm vt παλαιὸν, & absq; autoris nomine: verùm Suidas minimè dubitasse videtur quin ei adscribi deberet: quanuis quosdam Simonidi tribuere dicat. At Diogenes Laertius, si eius locus ita legatur vt legendum esse censeo, ostendit quidem in dubio id fuisse, sed sibi minimè de eo dubitandum videri. Pro his enim verbis, τί δὲ ἐπιγράψαι ἔφη ἐλεγεῖον, ἢ τοῦτο; ego repono, τίνι ὃ ἐπιγράψομεν ἐλεγεῖον ἢ τούτῳ;

Quum autem nonnulli loci, sicut non apud vnũ scriptorem sed plures leguntur, ita etiam non vno sed diuerso modo scripti sint, plerunque eam lectionẽ quæ frequentissima, aliquando eam potius quæ aptissima videbatur, sequuti sumus. Sic in isto versu, pag. 24, Θάμνος τ' οἰωνός τε καὶ εἰν ἁλὶ ἔλλοπος ἰχθύς: visa est hæc lectio ἔλλοπος (quæ apud Clementẽ extat) longè aptior quàm ἔμπυρος, quæ tamen multo frequentior est. At pag. 21, in hoc versu, Πῦρ καὶ ὕδωρ καὶ



γαῖα καὶ ἠέρος ἤπιον ὕψος, hæc lectio ἤπιον, vt magis est frequens quàm altera ἄπλετον, ita magis conuenire haud fortasse dici potest. In hoc versu eiusdem paginæ, non procul ab eo qui modò allatus fuit, Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς, pro ἀργὴς inuenitur apud quosdam scriptum αἰθὴρ: sed multo plures habent ἀργής. In versu qui hunc excipit, Νῆστίς θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον, pro τέγγει κρούνωμα βρότειον, inuenitur & hæc lectio, ἐκ πικροῖ ὄμμα βρότειον: sed altera multo pluribus testimoniis confirmatur. P. 42, v. 18, pro ἀτρεμές legitur etiam ἀτρεκές. & v vlt. πολυΐδρειν ἔλεγχον. Atque inter diuersas lectiones hæ videtur esse præcipuæ. Alicubi autẽ duæ lectiones occurrerũt, quarum vna, & diuersa & simul peruersa manifestè erat. vt pag. 42, Μη σε θεός pro Μηδέ σ' ἔθος. ad quam lectionem veram propius hæc altera accedit, cũ qua ne stat quidẽ versus, Μηδέ σε θεός. Apertius etiam p. 21, v. 5, ἐφωθοίης siue ἐφ' ὧ θοείης, pro ἐφ' ὧ θ' ὁσίης. & pag. 20, v. 2, δειλεμπέα pro δειν' ἔπεα. quanuis ne hæc quidem lectio mihi vsquequaque satisfacit. Vocabulis quibusdam apertè deprauatis nullus datus fuit accentus. vt pag. 29, ηδε ἀμείβων quum enim ἠδὲ perperam pro εἴδε' esse scriptum mihi persuaderem, malui ηδε absque accẽtu scribere Idem & pag. 20, v. 3, factum fuit in ζωησι, & alibi. Sed in quibusdam eadem nota vti debueram, vbi vsus non fui.

In Lini carm. pag 112, tres sunt loci quos aliter & quidem melius in mea editione poetarum heroici carminis principum legi (vndecunque lectiones illæ sumptæ fuerint) postea comperi. V. 4, Ὄχλον ἀϊστῶσαι. V. 7, καθαρμὸς δικαίως. V. 19, Ἠδ' ὕλην τρώπης. In primo tamen loco videtur & altera lectio posse defendi. His addam & eas quæ succurrunt coniecturas in aliquot locos ex iis qui emendandi supersunt. P. 30, v. 4, suspicor legendum ἐέδνωμαι. P. 37, v. 19, scribendum puto λαοῖσι μετείη. P. 96, v. penult. existimo legi debere Δεῦρ' ἑνιών, ὄμματά μοι.

Orphei porrò & Pythagoreorũ verſibus Heracliti locos ideo potiſſimùm adiunxi, quòd Heraclitus ex Orpheo bonã ſuorum dogmatũ ſumpſiſſe partẽ feratur:& Plato in Cratylo allatis Orphei verſibus, dicat, ταῦτα πρὸς τὰ τοῦ Ἡρακλείτου πάντα τείνει. Plutarchus autẽ alicubi allatis quibuſdam Heracliti & Pythagoreorum dogmatis, ſubiũgat, ταῦτα δὲ ἐν τοῖς Ὀρφικοῖς φέρεται. Iam verò quum Democriti vnà cum Heraclito ſæpe fieri mentionem viderem, placuit huius quoque locos & epiſtolas addere: quarum prior antea excuſa non fuerat: in poſteriore verò, & in Hippocratica (quæ non ſolùm multa de Democrito narrat, ſed plurima etiam tanquam ex ore illius refert, vt ibi præmonui) plurimos locos ex vet. exempl. pulchrè reſtitutos inuenies. Quod autem ea quæ ſunt Ionicæ dialecti, alicubi non obſeruantur, non tam hoc miror (quoniam & in aliis qui Ionica vel Dorica dialecto vtuntur, eandem, vt ita dicam, inconſtantiam videmus) quàm mirum mihi videtur, Heracliti epiſtolas nihil ex Ionica dialecto habere: quum loci qui à veteribus ex eo afferuntur, ſint cõtrà dialecto Ionica ſcripti: atque hoc potiſſimùm eas poſſe ſuſpectas reddere non negauerim.